4 βασιλείας ἐρῶν· καὶ ὃς αὐτὸν ἐκεῖθεν μετεκαλέσατο ὡς εἰς τὴν 10
ἑῴαν στρατεύσοντα καὶ τὸν Μηδικὸν ἐμπιστευθησόμενον πόλεμον.
5 τελευτᾷ μέντοι καὶ ἡ Αὐγούστα Θεοδώρα, ἐπιβιοῦσα τῇ βασι-
6 λείᾳ ἔτη εἴκοσι πρὸς ἑνὶ καὶ μησὶ τρισί. τῆς δὲ μεγάλης ἐκκλησίας ἀπαρτισθείσης ἤδη καὶ καθιερωθείσης, συνέβη πεσεῖν ἐκ σεισμοῦ τὴν πρὸς ἀνατολὴν μεγάλην σφαῖραν τοῦ τοιούτου 15
ναοῦ, ἣ πεσοῦσα τό τε κιβώριον τῆς ἁγίας τραπέζης καὶ αὐτὴν ἐκείνην τὴν παναγῆ τράπεζαν καὶ τὸν ἄμβωνα συνέτριψεν·
7 ὅθεν λέγεται καὶ τὸν τροῦλον προστάξει τοῦ βασιλέως καθαιρε-

1 ὅτι καὶ (om. E) πᾶσαν τὴν Ἰταλίαν ὑπέταξεν ὁ Βελισάριος (v. ad XIV 7, 21) CE 12 τελευτὴ Θεοδώρας τῆς βασιλίδος (A om. τ. βασιλ.) ACE

1 Βελισάριος] v. ad. XIV 7, 21 2 πόλεις αὐτῆς Owp 3 post ὡς add. καὶ Rwp 4 γενέσθαι O*Di*, v. ad XIV 5, 2 5 σφῶν AEwp, αὐτῶν O 7 καίσαρ E 8 τότε om. D ἔγραψεν] Procop. II p. 276, 11 12 αὐγούστα AO, αὐγοῦστα Ewp*Di*, v. ad XIII 23, 27 τῇ βασιλείᾳ Rwp*Di*, om. A, v. Procop. II p. 401, 12 15 τοῦ om. E 16 τό τε] τότε w*p invitis AR 17 ἁγίαν Ewp τὸν ἄμβωνα συνέτριψεν AEwp, συνέτριψε καὶ τὸν ἄμβωνα O 18 τροῦλον] v. *Duc* Cpolis Christ. lib. III p. 19 ss.

9. Post ea Belisarius iterum solus rem gerens omnem Italiam eiusque urbes subegit et barbaris tantum sui et terrorem et amorem incussit, ut imperium illi deferrent orarentque, ut rex
2 suus fieret, se suaque omnia illi permittentes. At ille, ut Caesariensis Procopius, qui sub illo tum militavit, narravit "Nunquam"
3 inquit "committam, ut vivo Iustiniano rex appeller". Hinc invidia
4 conflata a rege ob calumniam affectati imperii arcessitus est, per speciem eius in Orientem ad bellum Medicum administrandum
5 ablegandi. Interea Augusta Theodora obit, cum in imperio vi-
6 xisset annos XXI et menses III. Magna ecclesia iam absoluta et consecrata accidit, ut, cum magnus eius aedis globus Orientem versus collocatus ex terrae motu cecidisset, et ciborium sacrae
7 mensae et ipsa sacratissima mensa et ambo contereretur. Qua de causa dicunt trullum etiam iussu imperatoris destructum denuo

θῆναι, καὶ αὖθις ἀνεγερθῆναι ἐπὶ πόδας εἴκοσι καὶ πέντε με- P II 69 A
I 283 τεωρότερον, καὶ καθιερωθῆναι παρὰ Εὐτυχίου πατριάρχου τὸ 8
δεύτερον.

Ἐπὶ τούτου τοῦ βασιλέως καὶ τὸ κῆτος ἑάλω, ὃ εἰς πεντή- 9
5 κοντα καὶ ἐπέκεινα Βυζαντίοις ἠνώχλει ἐνιαυτούς, ὃ πορφύριον
ἐκάλουν, οὐκ ἀεὶ μὲν φαινόμενον, ἀλλ' ἐκ διαλειμμάτων. ὅτε 10
δ' ἐφαίνετο, πολλὰς μὲν τῶν νηῶν ὑποβρυχίους ἐτίθει, πολλοῖς
δὲ φθορᾶς αἴτιον ἀνθρώποις ἐγίνετο, καθ' οὗ πολλαῖς μὲν
ἐχρήσαντο μηχαναῖς, πᾶσαι δ' ἔμενον ἄπρακτοι, ἑάλω μέντοι
10 δελφῖνας διῶκον. οἱ μὲν γὰρ ἐκεῖνο φεύγοντες τῇ γῇ προσε- 11
πέλαζον, τὸ δὲ τὴν κατ' ἐκείνων ὁρμὴν οὐκ ἀνέκοπτεν, ἕως
ἄγχιστά πῃ τῆς γῆς γεγονὸς ἰλύι βαθείᾳ καὶ τελματώδει ἐμπέ-
πτωκεν. ἔνθα δὴ τῷ πηλῷ προσεπέπλαστο καὶ τοῦ τέλματος 12 B
οὔπως ἔτι ἀναδῦναι δεδύνητο. ὃ τοῖς περιοίκοις γνωσθὲν 13
15 ὥπλισεν αὐτοὺς κατὰ τοῦ θαλαττίου τούτου θηρός, καὶ ἀξίναις
αὐτὸ συγκόψαντες καὶ πελέκεσιν ἀπέκτειναν. εἶτα σχοίνους τῶν 14
ἁδροτέρων τούτου ἐξάψαντες ζεύγεσι βοῶν αὐτὸ τῆς θαλάσσης
ἐξείλκυσαν. ἦν δὲ τὸ μῆκος μὲν αὐτοῦ τριάκοντα πήχεων, ἐς 15
δέκα δ' ηὐρύνετο, ὡς ὁ Καισαρεὺς Προκόπιος καὶ περὶ τούτου
20 ἱστόρησεν.

4 περὶ τοῦ κήτους ACE

6 ᾀεὶ C   ἀλλ' ἐκ AEwp, ἐκ δέγε O   8 ἐγένετο Ewp   9 ἐχρήσατο D   μέντοι ARwp, μέν γε D   10 διῶκον RwpDi, διώκων A   12 πη τῆς] ποῦ D   14 οὔπω D   ἀναδῦναι EwpDi, ἀναδύναι A, ἐκδύναι O   15 ὥπλισε τούτους D   17 ἀδροτέρων AE, ἁδροτέρων O^s wpDi   αὐτὸ βοῶν B   18 μῆκος μὲν A, μὲν μῆκος Rwp, μῆκος D   19 καὶ om. D   20 ἱστόρησεν] Procop. II p. 400, 4

esse instauratum XXV pedibus altius eductum, et ab Eutychio 8
patriarcha denuo consecratum.

Sub hoc rege etiam cetus ille captus est, qui Byzantiis ul- 9
tra L annos molestus erat, quem porphyrium appellabant, non ille
quidem semper apparens, sed ex intervallis. Quoties autem 10
apparuerat, tum multas naves demergebat, tum multis hominibus
exitium afferebat. Qui cum multis machinis esset petitus eaeque
omnes essent irritae, tamen in persequendis delphinis captus est;
qui cum prope terram confugissent, ille impetum adversus eos 11
non inhibebat, donec proxime terram provectus in uliginem et
profundum lutum incideret, unde limo obstrictus emergere non 12
iam potuit. Quo accolae cognito belluam illam marinam securibus 13
ac bipennibus confecerunt et funibus, qua erat crassior, alligatis 14
boum iugis in terram pertraxerunt. Eius longitudo fuit XXX 15
cubitorum, latitudo X, ut idem Procopius Caesariensis refert.

16 Ἐν τοῖς χρόνοις τούτου τοῦ βασιλέως κατὰ τὸν αὐτὸν συγγραφέα καὶ τὰ τῶν Σηρῶν νήματα, ἡ μέταξα δηλαδή, παρὰ 17 Ῥωμαίοις γίνεσθαι ἤρξατο. ἤγετο μὲν γὰρ ἐν Περσῶν ὠνουμένη δι' ἐμπόρων παρὰ Ῥωμαίους. τὸ τῆς μετάξης χρῆμα οὐκ ᾔδεισαν μέντοι οὐδ' ὅπως γίνοιτο οὐδ' ὅτι νήματα σκω- 5 C 18 λήκων ἐστί. μοναχοὶ δὲ δύο τινὲς πρὸς τὸ Βυζάντιον ἐξ Ἰνδίας W III 57 ἀφικόμενοι τὴν ταύτης γένεσιν ἀφηγήσαντο καὶ ὑπισχνοῦντο κομίσαι τῶν σκωλήκων ἐκείνων γόνον, ᾠὰ ὄντα τὸν ὄγκον D I βραχύτατα, καὶ δεῖξαι Ῥωμαίοις ὅπως ἐκεῖνα ζωογονοῦνται θαλπόμενα καὶ εἰς σκώληκας μεταμείβονται, καὶ ὅπως δημιουρ- 10 19 γοῦσι τὴν μέταξαν, τὴν φύσιν σχόντα διδάσκαλον. τούτους τοίνυν τοὺς μοναχοὺς ὁ βασιλεὺς Ἰουστινιανὸς δωρεαῖς τε πρὸς τὸ παρὸν καὶ πρὸς τὸ μέλλον λαμπραῖς ὑποσχέσεσι πρὸς τὸ 20 ἔργον ἐπέρρωσεν. οἱ δὲ τά τε τῶν Σηρῶν ᾠὰ μετεκόμισαν ἐς Βυζάντιον καὶ εἰς σκώληκας ταῦτα μετήμειψαν κόπρῳ ἐνθέ- 15 μενοι καὶ ταύτῃ θερμήναντες καὶ συκαμίνων ἔθρεψαν φύλλοις

1 ὅτι ἐν τοῖς χρόνοις τοῦ βασιλέως (τ. βασ. om. C) Ἰουστινιανοῦ ἡ τῆς μετάξης γένεσις ἐγνώσθη τῷ βασιλεῖ καὶ τοῖς Ῥωμαίοις (ἐγνωρίσθη ῥωμαίοις E) CE

2 συγγραφέα] Procop. II p. 546, 17 3 ὠνούμενον OwpDi 4 ῥωμαίοις D post Ῥωμαίους distinxit B-W 6 ἐστὶ RwpDi, ἐστὶν A, v. ad XIII 1, 5 ἐξ ἰνδίας πρὸς τὸ βυζάντιον O 7 διηγήσαντο Rwp ὑπισχνοῦνται C 8 post γόνον cum ABC distinxit B-W post ᾠὰ distinxerunt DwpDi (v. ad vers. anteced.)

ᾠὰ om. E 9 βραχύτατον E 10 κώληκας D, κώληκας (σ supra) (sic) E, v. vs. 15 12 δωρεαῖς — 13 ὑποσχέσεσι] De chiasmo v. ad XIII 2, 6 15 ἐς AR (v. Procop. II p. 547, 16), εἰς τὸ B^{s}wp, ἐς τὸ D κώληκας DE, v. vs. 10 16 θερμήναντες RwpDi, θερμήσαντες A

16 Secundum eundem scriptorem eius regis temporibus tela 17 Serica a Romanis texi coepta est, quae prius ex Perside per mercatores afferebatur, cum ignorarent, quomodo fieret, neque 18 scirent fila esse vermium. Sed duo monachi Byzantium ex India profecti originem illius telae declararunt polliciti se fetum illorum vermium allaturos, ova nimirum perexigua, et ostensuros Romanis, quemadmodum illa fovendo animata in vermes muten- 19 tur et sericum texant, natura magistra usi. Eos monachos Iustinianus in praesentia muneribus, magnis pollicitationibus de 20 postero ad illud peragendum confirmavit. Itaque Serum ova Byzantium attulerunt et in fimo collocata in vermes transformarunt et mori foliis aluerunt indeque sericum confecerunt; ex eo igitur Romani cognovere, quo pacto sericum conficiatur.

καὶ μέταξαν εἰργάσαντο δι' αὐτῶν, κἀντεῦθεν τοῦ λοιποῦ τοῖς Ῥωμαίοις ἐγνώσθη ὅπως ἐργάζοιτο μέταξα. D

Ἐπιβουλῆς δὲ παρὰ πολλῶν μελετωμένης μηνυθείσης τῷ 21 βασιλεῖ, καὶ ὁ πατρίκιος Βελισάριος κατηγορήθη μετέχειν αὐτῆς, 5 καὶ ἀφείλετο μὲν ὁ βασιλεὺς τοὺς δορυφόρους αὐτοῦ ξύμπαντας, ἐκεῖνον δ' ἐν τῷ οἴκῳ αὐτοῦ ἀφῆκε τηρούμενον· τελευτήσαντος δὲ ἡ τούτου περιουσία τοῖς βασιλικοῖς ἀπονενέμητο θησαυροῖς. Ἰουστινιανὸς δὲ περὶ τὰ τελευταῖα αἱρέσει ἁλώσιμος γεγονὼς 22 τῇ τῶν Ἀφθαρτοδοκητῶν, οἳ οὐ φθαρτὴν τὴν σάρκα προσ-10 λαβεῖν τὸν κύριον, ἀλλ' ἄφθαρτον ἅμα τῇ προσλήψει εἶναι αὐτὴν δογματίζουσιν, οὕτω πιστεύειν ἅπαντας ἔσπευδεν, ἀντιλέγοντα 23 δ' αὐτῷ καὶ ἀντιδιατιθέμενον τὸν πατριάρχην Εὐτύχιον ὑπερόριον ἔθετο εἰς Ἀμάσειαν, καὶ προεχειρίσθη πατριάρχης ὁ ἀπὸ P II 70 A σχολαστικῶν Ἰωάννης, Ἀντιοχείας ὢν ἀποκρισιάριος. ἐτελεύ- 24 15 τησε δ' οὕτω φρονῶν Ἰουστινιανός, βασιλεύσας ἔτη τριάκοντα καὶ ὀκτώ, μῆνας ἑπτά, ἡμέρας τρισκαίδεκα, τῷ ἀνεψιῷ αὐτοῦ Ἰουστίνῳ τὴν βασιλείαν καταλιπών, ὃς κουροπαλάτης τετίμητο.

II 285 Ἦν δὲ οὗτος τὸ γένος Ἰλλυριός, τὴν φύσιν εἰς ἅπαντα 10

3 περὶ ἐπιβουλῆς καὶ περὶ τοῦ Βελισαρίου C 8 ὅτι αἱρέσει ἁλοὺς ὁ βασιλεὺς οὗτος ἐτελεύτησεν C 18 βασιλεία Ἰουστίνου τοῦ δευτέρου AR (τοῦ δευτέρου om. D)

4 βελλισάριος Ew, βελλησάριος p*, v. ad XIV 7, 21 9 τὴν om. D 10 αὐτὴν εἶναι D 11 πιστεύειν AEwp, δοξάζειν O 12 δὲ D αὐτῷ RwpDi, αὐτὸ A 12. 13 εἰς ἀμάσειαν ὑπερόριον ἔθετο B 14. 15 ἐτελεύτησε δ' AE, καὶ ἐτελεύτησεν Owp 16 αὐτῷ D 17 ὃς — τετίμητο om. Owp, v. vs. 18 18 ἦν δὲ οὗτος τὸ γένος ἰλλυριός· τὴν φύσιν AE, ἰουστῖνος δὲ τὸ γένος τυγχάνων ἰλλυριός, κουροπαλάτης πρὸ τῆς βασιλείας τετίμητο. καὶ ἦν τὴν φύσιν Owp Ἰλλυριός] v. *Duc* fam. Byz. p. 78

Cum autem Iustiniano multorum insidiae nuntiarentur, quarum etiam Belisarius patricius esset particeps, satellites ei omnes ademit ipsumque domi custodiri iussit; eiusque mortui opes in fiscum omnes sunt relatae. Sub extremam aetatem Iustinianus in eorum haeresim incidit, qui opinantur dominum non mortalem carnem assumpsisse sed eam, simulatque assumpta esset, immortalem extitisse. In quam opinionem cum omnes adductos vellet, Eutychium patriarcham refragantem et adversantem Amaseam relegavit, designato patriacha Ioanne exscholastico, Antiocheno apocrisiario. In eaque opinione decessit Iustinianus, cum regnasset annos XXXVIII, menses VII, dies XIII, imperio consobrino suo IVSTINO relicto, qui curopalatae honorem gessit. 21 22 23 24

10. Is, natione Illyrius, erat ingenio ad omnia habili et

2 περιδέξιος, τὴν γνώμην δὲ μεγαλόψυχος· ὃς εὐσεβὴς ὢν τοὺς παρὰ τοῦ Ἰουστινιανοῦ δομηθέντας ἐπεκόσμει ναοὺς καὶ τὰς ἁψῖδας ἄμφω τῷ ναῷ τῷ ἐν Βλαχέρναις προσέθετο ἐκ καινῆς,
B 3 ὡς εἶναι τοῦτον σταυροειδῆ· καὶ τὸν ἐν τῷ Ὀρφανοτροφείῳ ναὸν τῶν κορυφαίων ἀποστόλων πολυτελῶς ἐδομήσατο καὶ τὸν τῶν 5
4 θείων Ἀναργύρων ναὸν ἐν τοῖς Βασιλίσκου· καὶ τὸν τῆς ἁγίας καὶ πρωτομάρτυρος Θέκλης καὶ τὸν τοῦ Παλατίου Χρυσοτρίκλινον καὶ τὸν μέγαν ἀγωγὸν τοῦ Οὐάλεντος ἀνεκαίνισε, καὶ πλείονα δ' ἕτερα.

5 Ἦν δὲ τούτου γαμετὴ Σοφία, ἣν καὶ Αὐγοῦσταν ἔστεψεν, 10 ἧς ὀνόματι καὶ τὸν λιμένα τῶν Σοφιῶν ᾠκοδόμησε καὶ βασίλεια πρὸ τῆς πόλεως, Σοφιανὰς δι' ἐκείνην καὶ ταῦτα καὶ τὸν
6 τόπον κατονομάσας, ἐν οἷς καὶ ἐπίγραμμα παρὰ Ἀγαθίου ἐγένετο τόδε·

C ὁππόθι τεμνομένης χθονὸς ἄνδιχα πόντον ἀνοίγει 15
πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠιόνων,
χρύσεα συλλέκτρῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.

2 περὶ τῶν ναῶν καὶ τῶν ἄλλων τῶν παρὰ Ἰουστίνου δομηθέντων CE (sed E ad XIV 10, 33)

1 τε Owp 5 πολυειδῶς EDw 6 τὸν om. D 7 καὶ post ἁγίας om. Ewp 10 τούτῳ C 12 πρὸς p* σοφιανὰ Dwwp, sed v. *Duc* Cpol. Christ. IV 12 p. 119 s. 12. 13 τὸν τόπον καὶ ταῦτα Ewp 13 Ἀγαθίου] v. Pregerum inscr. Graec. metr. Lips. 1892 p. 166 16 πλακτὸς ED, corr. Dw πορθμὸν E 18 πολυδίστῃ w*, πολυκιδίστῃ p* invitis AR

2 magnanimus. Sacras aedes ab Iustiniano exstructas pro sua pietate adornabat et utrumque fornicem templo Blacherniano addidit,
3 ut formam crucis haberet; et in Orphanotropheo templum principum apostolorum magnis sumptibus exstruxit et sanctorum
4 Anargyrorum in Basilisci tractu. Item divae Theclae protomartyris et aureum Triclinium Palatii et magnum Valentis aquaeductum renovavit, atque alia plura.
5 Vxorem Sophiam augustali corona ornavit eiusque nomine portum Sophiarum exstruxit et regiam ante urbem, quam et
6 ipsam vicinaque loca eius gratia Sophianas nominavit. Ei hoc Agathiae epigramma est inscriptum:

Qua resonante freto fluctus cava littora tundunt,
Et duplici pontus nomine findit humum,
Inclutus uxori celebranda palatia struxit
Rex Sophiae, multus quam decoravit honos.

ἄξιον, ὦ Ῥώμη μεγαλόκρατες, ἀντία σεῖο
κάλλος ἀπ' Εὐρώπης δέρκεται εἰς Ἀσίην.

αὕτη ἡ βασιλὶς Σοφία ἀκριβωσαμένη πάντας τοὺς δανειστὰς 7
καὶ ὅσα τινὲς αὐτοῖς ὤφειλον εἴτε δι' ἐγγράφων ἢ καὶ δι' ἐνε-
5 χύρων, κατέβαλε μὲν αὐτοῖς τὰ δάνεια οἴκοθεν, ἔλαβε δὲ τὰ
ἐνέχυρα καὶ τὰ ἔγγραφα, καὶ τὰ μὲν ἐνέχυρα τοῖς δεσπόταις D
ἀπέδωκε, τὰ δ' ἔγγραφα ἐξηφάνισε. νοσεροῦ δὲ τυχὼν σώ- 8 W III 58
ματος ὁ βασιλεὺς οὗτος καὶ διὰ τοῦτο μὴ συνεχῶς προϊών,
I 286 τοὺς ἀδικεῖν βουλομένους, ὡς μηδενὸς ὄντος τοῦ ἐκδικοῦντος,
10 ἀδεεστέρους ἐποίησε. καί ποτε προελθὼν ἠνωχλήθη παρὰ πολ- 9
λῶν ὡς ἀδικουμένων. γέγονεν οὖν ἡ τῶν ἀδικουμένων ἐκδί- 10
κησις διὰ φροντίδος αὐτῷ. φροντίζοντι δὲ περὶ τούτου πρόσ- 11
εισί τις ἐπαγγελλόμενος, εἰ ἔπαρχος γένοιτο καὶ κατὰ πάντων
αὐτῷ ἐξουσία δοθῇ, δι' ὡρισμένου καιροῦ μήτινα εὑρεθῆναι
15 τὸν ἀδικούμενον. ἡσθεὶς οὖν τῇ ὑποσχέσει ταύτῃ ὁ βασιλεὺς 12 P II 71 A
τὸν ἄνδρα ἐκεῖνον προεχειρίσατο ἔπαρχον. ὁ δὲ προκαθίσας, 13

3 ὅτι τὰς ὀφειλὰς τῶν τότε χρεωστούντων ἀπέτισεν ἡ Αὐγούστα Σοφία CE
10 περὶ τοῦ ἐπάρχου (πατριάρχου E, ut videtur) καὶ τοῦ ἀδικοῦντος καὶ
μὴ ἀπαντήσαντος εἰς τὸ δικαστήριον αὐτοῦ (om. C) CE 16 ὅρα ξένον B

2 post *κάλλος* add. *δ'* E 4 *καὶ* alterum om. E initio vers. 8 *μὴ* RwpDi, Cedr. I p. 680, 21, om. A 12 *φροντίζοντος* D 14 *αὐτῷ ἐξουσία δοθῇ* A, *αὐτῷ δοθῇ* omisso *ἐξουσία* E, *δοθείη ἐξουσία αὐτῷ* O, *αὐτῷ δοθείη ἐξουσία* wp, *αὐτῷ ἐξουσία δοθείη* *Di*; v. I p. 97, 12. 102, 22. 338, 13. 421, 16. XVI 9, 25. XVIII 28, 10 cet. Optativum et coniunctivum coniungit Zonar. I p. 307, 14. XIV 15, 14. XVIII 17, 5 post *δοθῇ* esse distinguendum, non post *καιροῦ*, docent et XIV 10, 16 et Cedr. I p. 681, 23; cf. praeterea Grohium *Gesch. d. oström. Kais. Justin II.* Lips. 1889 p. 46
εὑρεθῇ D, corr. Dw

**Quam bene, Roma, potens tua gloria constitit, unde
Europae atque Asiae fertilis arva patent.**

Haec regina Sophia feneratoribus omnibus perquisitis et aere 7 alieno, quod iis sive ex syngraphis sive pignoribus positis deberetur, debita de suo dissolvit, pignora accepta dominis restituit et syngraphas factas abolevit. Sed rex cum esset morbido 8 corpore neque frequenter in publicum prodiret, multos ad inferendam aliis iniuriam, quasi nullus earum vindex esset, audaciores reddidit. Cum autem aliquando progressus a multis vexatus 9 esset de iniuriis conquerentibus deque iis vindicandis cogitaret, qui- 10. 11 dam ad eum accessit, qui pollicebatur, si praefectus creatus esset et potestatem in omnes accepisset, intra certum tempus neminem inventum iri, cui fieret iniuria. Ea pollicitatione delectatus rex 12 illum hominem praefectum designat. Is cum pro tribunali sederet 13

προσελθόντος αὐτῷ τινος καὶ αἰτιωμένου τῶν ἐπισημοτέρων
συγκλητικῶν ἕνα, μετεκαλέσατο τὸν αἰτιώμενον· ἀλλ' οὐκ ἀπήν-
14 τησεν ἐκεῖνος. εἶτα καὶ δεύτερον ἔθετο μήνυμα πρὸς αὐτόν·
ὁ δὲ καὶ τούτου καταφρονήσας εἰς τὸ βασιλικὸν ἀπήει συμπό-
15 σιον· ἔτυχε γὰρ κεκλημένος πρὸς τοῦτο. ὡς δὲ τοῦτο ἔγνω 5
ὁ ἔπαρχος, ἀπῆλθε κἀκεῖνος εἰς τὰ ἀνάκτορα καὶ εὗρεν ἤδη
16 συνιστάμενον τὸ συσσίτιον καί φησι πρὸς τὸν βασιλέα "ὑπε-
σχόμην σοι, βασιλεῦ, διὰ τόσου καιροῦ μηδένα καταλιπεῖν ἀδι-
κούμενον· τοῦτο δὲ πάντως μοι ἀνυσθήσεται, εἰ καὶ τὴν ἐκ
B 17 τοῦ κράτους σου ἐπικουρίαν ἔχω καὶ τὴν ῥοπήν· εἰ δὲ μᾶλλον 10
αὐτὸς τῶν ἀδικούντων ἀντιποιῇ καὶ φιλίως αὐτοῖς διακείμενος
18 συνεστιωμένους ἔχεις, οὐδέν μοι ἔσται ἀνύσιμον· ἢ γοῦν μὴ
19 μεταδίδου παρρησίας αὐτοῖς ἢ παῦσόν με τῆς ἀρχῆς." καὶ ὁ
βασιλεύς, "εἰ αὐτὸς ἐγώ εἰμι" φησίν "ἀδικῶν, ἐξανάστησόν με
20 ἐντεῦθεν." αὐτίκα τοίνυν ὁ ἔπαρχος τὸν αἰτιώμενον ἐκεῖνον ἐκ 15
τῆς πανδαισίας ἐξαναστήσας καὶ εἰς τὸ δικαστήριον καταστήσας
καὶ τῷ κατ' αὐτοῦ λέγοντι συνδικάσας αὐτόν, καὶ γνοὺς ἀδι-
κοῦντα, ἐκεῖνον μὲν ἐκόλασε ταῖς εἰς σῶμα πληγαῖς, τῷ δὲ
ἀδικουμένῳ ἐκ τῆς ἐκείνου ὑπάρξεως πολλαπλάσιον ἀποκατέ-
21 στησε τὸ ἀδίκημα. ὅθεν δείσαντες οἷς ἦν προαίρεσις πλεονε- C
κτική, τοῦ ἀδικεῖν ἀνεστάλησαν καὶ τοῖς ἠδικημένοις εἰς συμβάσεις
ἐχώρησαν.

2 μετεγκαλέσατο D, corr. Dw αἰτιαθέντα O 5 πρὸς τούτου C
6 πρὸς B 8 σε E 10 τὴν om. BD 14 φησὶν] ὁ D
16 τῆς πανδαισίας AEwp, τοῦ συμποσίου O 19 πολυπλάσιον E
20 post ἦν add. ἡ D 21 συμβεβάσεις B

et quidam ex illustrioribus senatoribus accusatus a quodam et
14 arcessitus se non sisteret, ei denuo denuntiat. At ille ne tum qui-
dem adest contempto apparitore, sed ad regium convivium se con-
15 fert, quo invitatus erat. Eo praefectus cognito et ipse regiam in-
16 gressus, quamvis convivio iam incohato, regi "Tibi" inquit "promisi
me intra tantum tempus relicturum neminem, cui fieret iniuria; id-
que omnino efficiam, si potestatis tuae auxilium atque auctoritas
17 mihi suppetiveris. Sin vero ipse iniurios fovebis eisque utere
18 amicis et conviviis, nihil potero perficere; aut igitur illis non danda
19 est licentia, aut mihi magistratus abrogandus." Tum rex "Si ego
20 ipse" inquit "cui iniuriam fecero, inde me abducito." Statim igitur
praefectus reum e convivio abductum in praetorium adduxit
auditaque utrimque causa illum, cum sontem invenisset, plagis af-
fecit et accusatori damnum cum accessione multiplici pensari
21 iussit. Ex eo homines sui emolumenti cum aliorum detrimento stu-
diosi iniurias facere prohibiti cum iis, quos laeserant, transegerunt.

Αἱ δὲ πρὸς Πέρσας σπονδαὶ ἐπὶ τούτου τοῦ βασιλέως 22
ἐλύθησαν· δασμὸν γὰρ ἐνιαύσιον λίτρας πεντακοσίας τῶν Ῥω- 23
μαίων διδόντων αὐτοῖς, ἵνα τὰ σφίσιν ἀγχίθυρα τῆς Ῥωμαϊκῆς
ἡγεμονίας ἀβλαβῆ φυλάσσωνται φρούρια, ὁ Ἰουστῖνος οὗτος
5 ἐπονείδιστον εἶναι τὸ φορολογεῖσθαι παρὰ Περσῶν Ῥωμαίους
λέγων, ἐπέσχε τὸ χρυσίον. διαπρεσβευσάμενος δὲ πρὸς Ἀρέθαν 24
τὸν Αἰθιόπων βασιλέα ἔπεισεν αὐτὸν τὰ πλησιάζοντα τοῖς Αἰ-
θίοψι τῆς τῶν Περσῶν ἐπικρατείας καταδραμεῖν καὶ λῄσασθαι·
διὸ καὶ αὖθις μέσον Περσῶν καὶ Ῥωμαίων ἀνερρίπιστο πόλεμος.
10 στρατηγὸν οὖν τῆς ἀνατολῆς ὁ βασιλεὺς τὸν πατρίκιον Μαρ- 25
τῖνον προχειρισάμενος ἔπεμψε κατ' αὐτῶν, καὶ τῷ τετάρτῳ D
ἔτει τῆς βασιλείας αὐτοῦ συνέστη πόλεμος, καὶ πολλοὶ μὲν ἀμ-
φοτέρωθεν ἔπεσον, νικῶσι δ' ὅμως Ῥωμαῖοι. ὁ δὲ τῶν Περ- 26
σῶν κρατῶν Ὁρμίσδας Ἀρδαμάνην ἔπεμψε μετὰ βαρείας δυνά-
15 μεως τὰ ὑπὸ Ῥωμαίους λῄσασθαι· ὃς πολλὴν ἐπελθὼν χώραν 27
Ῥωμαϊκὴν καὶ λείαν πλείστην ἐξ αὐτῆς ἡρπακὼς ἐπανῆλθε,
τοῦ πατρικίου Μαρτίνου μὴ τολμήσαντος αὐτῷ ἀντεπεξελθεῖν.

1 ὅτι τὰς πρὸς Πέρσας σπονδὰς ἔλυσεν Ἰουστῖνος CE

4 φυλάσσονται AEwp, φυλάσσωνται O*Di* οὕτως D 5. 6 λέγων | ῥωμαίους E 6 ἀρέθαν ARw, Ἀρεθὰν p* 7 τὸν AC, τῶν Rwp 8 τῶν om. B 9 αὖ E 10 ὁ βασιλεὺς om. O Μαρτῖνον] v. Theoph. I p. 245, 25, Grohium l. c. p. 104, Hertzschium de script. rer. imper. Tiberii Constantini (Comment. philol. Ienens. vol. III) p. 39 11 τετάρτῳ] v. Theoph. I p. 244, 6 ss., Cedr. I p. 684, 15, Grohium p. 104 s. 14 ὁρμίσδας Rw*Di*, ὁρμίσδας A (v. ad p. 178, 3) Ἀρδαμάνην] De forma nominis v. Grohium l. c. p. 105 ann. 6 16 ἐπανῆλθε AO, ἐπανῆλθεν Ewp, v. ad XIII 1, 5 17 ἐπεξελθεῖν C

Persica pax hoc rege soluta est. Nam cum Romani Persis 22. 23
annuas quingentas libras penderent, ut sibi vicina Romanae di-
cionis castella illaesa tuerentur, Iustinus, qui turpe esse dicebat
Romanos Persis vectigales esse, aurum retinuit; missisque legatis 24
ad Aretham, Aethiopum regem, impetravit, ut Persicas provincias
Aethiopiae finitimas incursaret ac praedaretur. Quibus de causis
cum denuo bellum inter Persas et Romanos exarsisset, Martinum 25
patricium cum imperio contra eos in Orientem misit, et quarto
eius anno commisso proelio, quamvis utrimque multi cecidissent,
tamen victoria penes Romanos fuit. Ceterum rex Persarum 26
Hormisdas Ardamanem cum ingentibus copiis misit ad provincias
Romanorum diripiendas; qui longe lateque agrum Romanum 27
pervagatus maximaque praeda rapta domum rediit, Martino pa-

28 ἃ μαθὼν ὁ βασιλεὺς ἐν συμφορᾷ ἐποιήσατο καὶ τὸν μὲν Μαρ-
τῖνον τὴν στρατηγίαν ἀφείλετο, Ἀρχελάῳ δὲ αὐτὴν ἐνεπίστευσε,
29 καὶ πρὸς Ὁρμίσδαν σπονδὰς ἔθετο αὖθις. ἐκ δὲ τῆς διὰ ταῦτα
P II 72 A λύπης νόσῳ φρενίτιδι περιπέπτωκεν, ἤλγει δὲ καὶ τοὺς πόδας.
30 ἀμοιρῶν μέντοι γονῆς οἰκείας, ἔφθη τὸν κόμητα τῶν ἐξκου- 5
31 βίτων Τιβέριον υἱοποιησάμενος καὶ Καίσαρα ἀνειπών. ἀνεθεὶς
δὲ τῆς νόσου προσεκαλέσατο τὸν πατριάρχην Εὐτύχιον (θα-
νόντος γὰρ τοῦ ἀπὸ σχολαστικῶν Ἰωάννου, πάλιν οὗτος ἐπαν- D
ήχθη καὶ εἰς τὸν θρόνον ἀποκατέστη τὸν ἀρχιερατικόν), συνα-
W III 59 θροίσας δὲ καὶ τὴν σύγκλητον καὶ τὸν κλῆρον τῆς ἐκκλησίας 10
32 βασιλέα τὸν Τιβέριον ἀνηγόρευσεν, ἐπ' ἀκροάσει πάντων αὐτῷ
ἐντειλάμενος τὰ πρὸς θεὸν εὐσεβεῖν, τοὺς ὑπηκόους εὐεργετεῖν,
τοὺς ἀδικουμένους ἐκδικεῖν, τοῖς στρατιώταις μὴ ἐνδιδόναι πλεο-
B νεκτεῖν, μὴ μέγα ἐπὶ τῇ ἀλουργίδι φρονεῖν, τοῖς εὐποροῦσιν
ἀπολαύειν τῶν οἰκείων ἀνεπιφθόνως παραχωρεῖν, τοῖς μὴ 15
ἔχουσιν ὡς δύναμις ἐπαρκεῖν, τὴν βασιλίδα καὶ πρῴην κυρίαν
33 αὐτοῦ προσηκόντως τιμᾶν. ταῦτα παραινέσας καὶ συμβου-
λεύσας ὁ Ἰουστῖνος τῷ Τιβερίῳ ὁ μὲν ἐξέλιπε.

11 ἀνάρρησις Τιβερίου καὶ τελευτὴ Ἰουστίνου ACE 18 v. argum. ad XIV 10, 2

1 ἃ] ὃ D 2 ἐμπεπίστευκε O 3 ὀρμίσδαν AOw (v. ad p. 177, 14), ὁρμίσδαν E σποδὰς D, corr. D_w 5 ἔφθη Rwp*Di*, ἔφη A 7 προσεκαλέσατο AEwp, Theoph. I p. 248, 15, προσκαλεσάμενος O 9 ἀθροίσας O 10 post σύγκλητον add. ἀλλὰ Owp 13 διεκδικεῖν BDwp 14 τῇ om. D ἀλουργίδι A, ἀλουργῖδι D, ἁλουργίδι Rwp*Di*, v. ad XIV 1, 2 φρονεῖν Rwp*Di*, φρο|νῶν A εὐπόροις O 15 ἀνεπιφθόνως om. B 18 post ἐξέλιπε add. βασιλεύσας ἔτη τρισκαίδεκα (δέκα καὶ τρία B, ἔτη ιγ' C) Owp*Di*, om. AE, v. ad XIV 18, 8

28 tricio obviam ire non auso. Ea vero rex aegerrime tulit atque
imperium Martino abrogatum in Archelaum contulit et pacem cum
29 Hormisda fecit. Verum ex eo maerore in phrenitidem incidit; erat
30 etiam pedibus aeger. Et quia liberos non habebat, iam antea Tibe-
31 rium excubitorem comitem adoptatum Caesarem appellarat. Morbo
igitur liberatus, arcessito patriarcha Eutychio (nam mortuo Ioanne
exscholastico reductus fuerat et in pontificiam sedem restitutus)
et senatu atque clero ecclesiae convocato Tiberium regem ap-
32 pellat eique omnibus audientibus mandat, ut deum pie colat,
ut subiectis benefaciat, ut iniuria oppressos vindicet, ne militibus
quidvis audendi licentiam tribuat, ne purpura efferatur, ut di-
vitibus sua re familiari citra invidiam fruendi det potestatem,
ut pauperibus pro viribus succurrat, ut reginam, dominam dudum
33 suam, convenienti honore afficiat. Quae cum Tiberium docuisset
et monuisset, Iustinus obiit.

Τῷ δ' ἡ βασιλεία περιελέλειπτο, στεφθέντι ὑπὸ Εὐτυχίου 11
τοῦ πατριάρχου. ἔχων δὲ γαμετὴν ὁ Τιβέριος Ἀναστασίαν Αὐ- 2
γοῦσταν αὐτὴν ἀνηγόρευσεν, ἣ δύο αὐτῷ θυγατέρας ἐγείνατο,
Χαριτὼ καὶ Κωνσταντῖναν. Σοφία δὲ ἡ πρῴην βασίλισσα τῶν 3
5 *ἀνακτόρων ὑπαπελθοῦσα εἰς τὰ ὁμώνυμα ἑαυτῇ κατῳκίσθη*
βασίλεια, βασιλικὴν αὐτῇ τοῦ Τιβερίου δόντος ὑπηρεσίαν, ὡς C
οἰκείᾳ μητρί. οὗτος ὁ αὐτοκράτωρ καὶ πρὸς Ὁρμίσδαν πρε- 4
σβείαν ἐποιήσατο, ἀνανεῶν τὰς σπονδάς. ὁ δὲ τὴν ἀνανέωσιν 5
οὐ προσήκατο· διὸ καὶ ὁ Τιβέριος πρὸς τὸν κατὰ Περσῶν
10 *πόλεμον πολλὴν ἡτοίμαζε στρατιὰν καὶ Ἰουστινιανὸν τῶν ἐπισή-*
μων τινὰ τῆς ἀνατολῆς προυβάλετο στρατηγόν, ὃς ἐπὶ Πέρσας 6
χωρήσας, ἐπεὶ πλησίον αὐτῶν ἐστρατοπεδεύσατο, εἰς λόγους
ἧκε πρὸ παρατάξεως καὶ ἔπεισεν αὐτοὺς σπείσασθαι Ῥωμαίοις
ἐπὶ τριετίᾳ. ἤδη δὲ τοῦ τρίτου παραρρυϊσκομένου ἐνιαυτοῦ 7
III 289 *Ὁρμίσδας ὁ τῶν Περσῶν ἀρχηγὸς σὺν ταῖς αὐτοῦ δυνάμεσιν*

1 *βασιλεία Τιβερίου* ACD 15 *ὅτι ἐπῆλθον οἱ* (om. C) *Πέρσαι τῇ Ἀρμενίᾳ* (*ἀρμενία* CE), *καὶ συμμίξαντες τοῖς Ῥωμαίοις ἡττήθησαν* CE

1 *Τῷ δ' ἡ βασιλεία περιελέλειπτο στεφθέντι* AE, *στεφθεὶς δὲ ὁ* (om. BC) *τιβέριος* Owp 4 *κωνσταντίαν* Ewp, Constantinam *Wo* lat. et *Κωνσταντίνη* XIV 11, 22 w, *κωνσταντίναν* AO, corr. *Di*, v. ad XIV 13, 5 5 *ἐγκατῳκίσθη* D 7 *ὁρμίοδαν* Ow*Di*, *ὀρμίσδαν* AE 10 *πόλεμον* AR, om. w*p, bellum Persicum: *Wo* lat. *ἡτοίμασε* p invitis ARw 11 *προὐβάλλετο* ADwp, *προὐβάλετο* (R)*Di*, v. XIV 12, 12. 24, 1. 25, 5. 26, 6. 27, 4. XV 9, 7. XVI 7, 3. 12, 20. 13, 26. 14, 1. 21, 2. XVII 14, 31 et Hultschium *Die erz. Zeitf. b. Pol.* XXI 14 14 *τριετία* AR, *τριετίαν* B, *τρία ἔτη* Ewp (v. Theoph. I p. 250, 20); dativum restituit *Di*, v. Krebsium *Die Präpos. b. Polyb.* p. 86 *δὲ* om. D *τρίτου*] v. Sauerbreium l. c. p. 55 et Hertzschium l. c. p. 47 *παραρυϊσκομένου* AB, *παραρρυϊσκομένου* Rwp*Di*, v. XIV 22, 34. 25, 22. 26, 2. XVI 2, 8 cet. et Gelzerum *Leontios v. Neapolis* Frib. et Lips. 1893 p. 197 15 *ὁρμίσδας* AE, *ὁρμίσδας* Ow*Di*

11. Regnum ad eum transiit ab Eutychio patriarcha coronatum, qui uxorem quoque suam Anastasiam Augustam salutavit; 2 quae duas ei filias peperit, Charitonem et Constantinam. Sophia 3 vero, Iustini vidua, relicta aula in regiam sibi cognominem migravit, regio comitatu a Tiberio tamquam matri suae attributo. Ad Hormisdam, Persarum regem, de pace renovanda legatos 4 misit; qui cum renovationem eam recusasset, Tiberius ad bellum 5 Persicum ingentes copias conscribit et Iustinianum, virum illustrem, Orientis ducem creat. Qui contra Persas profectus, castris 6 prope illos positis et ante pugnam ad colloquium evocatis, persuadet, ut triennii pacem cum Romanis faciant. Tertio anno 7 iam exeunte Hormisdas, Persarum dux, cum suis copiis Arme-

D 8 ἐπὶ τὴν Ἀρμενίαν χωρεῖ. τοῦτο εἰς δειλίαν ἐνέβαλε τὰ ἐκεῖ
Ῥωμαίων στρατεύματα· διαλεχθεὶς δὲ τούτοις ὁ σφέτερος στρα-
τηγὸς θάρσος ἅπασιν ἐνεποίησε, καὶ τὴν πρὸς Ὁρμίσδαν μάχην
9 ὑπέστησαν. καὶ μέχρι μέν τινος ταῖς ἐκ τόξων κεχρημένοι
βολαῖς ἐδόκουν ὑπερτερεῖν, τῶν Ῥωμαίων ταῖς ἀσπίσι κατα- 5
10 φραγνύντων ἑαυτοὺς καὶ μὴ ἀντεπεξιόντων. ἐπεὶ δ' ἔγνωσαν
οἱ Ῥωμαῖοι ἤδη κεκενῶσθαι τὰς φαρέτρας τοῖς ἐναντίοις, συνη-
σπικότες ἀλλήλοις καὶ ἀλαλάξαντες ἐνυάλιον ἐπῆλθον τοῖς Πέρ-
11 σαις κατὰ συστάδην, ἀγχεμάχοις ὅπλοις αὐτοὺς ἀμυνόμενοι. οἳ
οὐδὲ πρὸς βραχὺ τὴν ὁρμὴν αὐτῶν ὑπομείναντες τρέπονται, 10
καὶ ἀναιροῦνται μὲν οἱ πλείους· τὸ δὲ στρατόπεδον αὐτῶν διαρ-
12 πάζεται· καὶ ἡ μὲν βασιλικὴ τοῦ Ὁρμίσδου σκηνὴ καὶ ἡ ἀπο-
P II 73 A σκευὴ ἐκείνου πᾶσα καὶ οἱ ἐλέφαντες τῷ βασιλεῖ ὑπεξῄρηντο,
13 τὰ δ' ἄλλα τοῖς στρατιώταις ειάθησαν. καὶ οἱ Ῥωμαῖοι πρὸς
τὰ ἐνδότερα τῆς Περσίδος ἐχώρησαν καὶ χώραν πολλὴν αὐτῆς 15
14 ἐληίσαντο. τότε καὶ τὸ τῶν Βλαχερνῶν λοετρὸν οἰκοδομεῖν ὁ
Τιβέριος ἤρξατο καὶ πολλοὺς ναοὺς καὶ δημοσίους οἴκους, ξε-
νῶνάς φημι καὶ γηρωκομεῖα, ἀνενεώσατο καὶ τὸν Χρυσοτρί-

16 ὅτι τὸ λοετρὸν τῶν Βλαχερνῶν παρὰ Τιβερίου οἰκοδομεῖσθαι ἤρξατο (ἐκτίσθη E) CE

1 ἀνέβαλε D, corr. Dw 2 ἀρχηγὸς Ewp 3 ὁρμίσδαν OwDi, ὀρμίσδαν AE 4. 5 βολαῖς κεχρημένοι D 5 ante ἐδόκουν add. οἱ ῥωμαῖοι Owp post ὑπερτερεῖν cum AR distinxit B-W 7 οἱ ῥωμαῖοι om. O κεκενῶσθαι] καὶ | κενῶσθαι E τοῖς ἐναντίοις AEwp, τοῖς πέρσαις R, οἱ πέρσαι C 8 ἀλλήλοις om. O τοῖς πέρσαις AEwp, αὐτοῖς O 11 μὲν om. D 12 ὁρμίσδου OwDi, ὀρμίσδου AE 14 καὶ οἱ AR, οἱ δὲ w*pDi 18 ante φημι add. τε D γηρωκομεῖα AR (v. ad XV 14, 25), γηροκωμεῖα C, γηροκομεῖα DwpDi, Theoph. I p. 251, 17

8 niam invadit; quae res terrorem incussit Romanis ibi legionibus,
sed ducis sui verbis animis omnium receptis pugnare cum Hor-
9 misda non dubitaverunt. Ac quamdiu Persae sagittis utebantur,
superiores esse videbantur, cum Romani clipeis se obsepirent
10 neque contra irent. Sed cum animadvertissent Romani Persas
pharetras iam exhausisse, clipeis densatis et clamore bellico sublato
11 illos invaserunt hastis et gladiis cominus rem gerentes. Tum ii
nec ad exiguum tempus eorum impetu tolerato in fugam versi ple-
12 rique cadunt, castrisque direptis regium Hormisdae tabernaculum
et omnis eius supellex et elephanti regi seliguntur, cetera militibus
13 concessa. Et Romani in Persidis interiora progressi longe lateque
14 praedas egerunt. Tunc Tiberius balneas Blachernias aedificare
coepit et multas et sacras et publicas aedes instauravit, ut hospitia

κλινον παρὰ Ἰουστίνου δομηθέντα προσεπεκόσμησεν. Εὐτυχίου 15
δὲ τοῦ πατριάρχου ἐπὶ τέσσαρας ἐνιαυτοὺς τὸ δεύτερον τὸν
θρόνον τῆς Βυζαντίδος κοσμήσαντος καὶ ἐκλελοιπότος, χειροτο-
νεῖται πατριάρχης διάκονος τῆς μεγάλης ἐκκλησίας Ἰωάννης ὁ
5 *νηστευτής, ἀνὴρ ἱερώτατος. τοὺς δ' εἰς τὴν βασιλίδα τῶν πό-* 16
λεων εἰσαχθέντας δορυαλώτους Πέρσας ἅπαντας μεταμφιάσας
ὁ βασιλεὺς μεγαλοπρεπῶς εἰς τὰ οἰκεῖα ἀφῆκεν ἐπανελθεῖν· B
οὓς ἀνελπίστως οἱ προσήκοντες θεασάμενοι ὑπερεθαύμασαν καὶ 17
290 *δι' ἐπαίνων τὸν βασιλέα πεποίηντο. ἐπὶ τούτου τοῦ βασιλέως* 18
10 *ὁ Χαγάνος ὁ τῶν Ἀβάρων ἀρχηγὸς ᾐτήσατο σταλῆναι αὐτῷ*
οἰκοδόμους, ἵνα αὐτῷ δομήσωνται λοετρόν. σταλέντων δὲ γέ- 19
φυραν παρὰ τὸν Δάνουβιν ᾠκοδόμησε, βιασάμενος πρὸς τοῦτο
αὐτούς, ἵνα δι' αὐτῆς ἀπόνως περαιούμενος τὴν ὑπὸ Ῥωμαίους
ληίζηται. ἐξ ἐθνικῶν δὲ πλῆθος ἐς χιλιάδας δώδεκα συνιστά- 20

1 *περὶ πατριάρχου* E 9 *περὶ Χαγάνου* E, *περὶ Χαγάνου ὅτι σταλεὶς κατὰ Περσῶν ὁ Μαυρίκιος καὶ συμβαλὼν αὐτοῖς ἐνίκησε καὶ γαμβρὸς τοῦ βασιλέως ἐγένετο* C, *ὅτι ἐνίκησαν τοὺς Πέρσας οἱ Ῥωμαῖοι καὶ γαμβρὸς τοῦ βασιλέως ἐγένετο* E

3 *βυζαντίδος* ARwp, *βασιλίδος* C *ἐκλελειπότος* w*p invitis AR 6 *ἀχθέντας* Rwp *δοριαλώτους Di*, v. ad XIII 8, 3 8 *θεησάμενοι* D 10 post *ὁ* prius add. *μέντοι* O *ὁ* alterum om. B *βαρβάρων* D, corr. Dw, v. ad XIV 13, 14 *ᾐτήσατο σταλῆναι* A(Ewp), *στείλας ᾐτήσατο τὸν τιβέριον σταλῆναι* O 11 *αὐτῷ* AEwp, *οἱ* O, sed ex *οἱ δομήσωνται* in D mutatum *οἰκοδομήσωνται* 12 *δάννουβιν* BD 12. 13 *πρὸς τοῦτο αὐτοὺς* AEwp, *τοὺς τεχνίτας πρὸς τὴν τοιαύτης* (*ταύτης* BD) *οἰκοδομὴν* O 13 *ἀπόνως* AEwp, *εὐμαρῶς* R, *ἀδεῶς* D 14 *ἐθνικοῦ* B *δώδεκα*] *πεντεκαίδεκα* Theoph. I p. 251, 26 (Anastas. chronogr. trip. p. 154, 18), Cedr. I p. 690, 14; cogitat igitur Sauerbreius l. c. p. 55 de vitio codicum Zonarae; sed v. *B-W* comment. Fleckeis. p. 148 ss.

et senum receptacula, et aureum triclinium ab Iustino conditum
novis auxit ornamentis. Eutychio patriarcha, cum Byzantinam 15
sedem per IV annos secundum ornasset, mortuo, patriarcha eligi-
tur magnae ecclesiae diaconus Ioannes ieiunator, vir sanctissimus.
Persas captivos in regiam urbem perductos rex omnes magnifice 16
vestitos domum redire sivit; quos ipsorum cognati praeter spem 17
conspicati magna cum admiratione regem collaudarunt. Ceterum 18
sub eo rege Chaganus, Avarum dux, petiit, ut fabri mitterentur,
qui sibi balneum aedificarent. Iis missis pontem in Danubio struere 19
coegit opifices, ut flumen sine periculo traicere et Romanas
provincias populari posset. Imperator autem exercitum XII milium 20
robustorum iuvenum ex gentibus coegit, quem ex suo nomine
vocavit, et Mauricio, comite foederatorum, illis praeposito eique

W III 60 μενον ἀθροίσας νέων καὶ σφριγώντων ἀνδρῶν, ἐπὶ τῷ ἑαυτοῦ
ὀνόματι τούτους συνεκρότησε στράτευμα, καὶ στρατηγὸν αὐτοῖς
C ἐπιστήσας Μαυρίκιον τὸν κόμητα τῶν φοιδεράτων καὶ ὑπο-
στράτηγον Ναρσῆν τὸν κουβικουλάριον ἐκπέπομφε κατὰ τῶν
21 Περσῶν. πολέμου δὲ συρραγέντος τὸ Ῥωμαϊκὸν ὑπερτέρησε 5
στράτευμα καὶ πόλεις τῶν βαρβάρων καὶ πολλὴν χώραν ἀφεί-
22 λετο. ὑποστρέψαντα δὲ τὸν Μαυρίκιον μετὰ τιμῆς ὁ βασιλεὺς
ὑπεδέξατο καὶ κηδεστὴν ἐπὶ τῇ θυγατρὶ Κωνσταντίνᾳ αὐτὸν
23 ἐποιήσατο. τὴν δ' ἑτέραν τὴν Χαριτὼ τῷ στρατηγῷ συνέζευξε
24 Γερμανῷ καὶ ἄμφω δὲ τετίμηκε Καίσαρε. νόσῳ δὲ φθινάδι 10
περιπεσών, ἐν τῷ τριβουναλίῳ φοράδην ἐκκομισθεὶς ἐκεῖ τὸν
οἰκεῖον γαμβρὸν Μαυρίκιον ἀναρρηθῆναι βασιλέα πεποίηκε
παρουσίᾳ τοῦ πατριάρχου Ἰωάννου καὶ τῆς συγκλήτου βουλῆς.
D 25 οὕτω δ' ὑπὸ τῆς νόσου κατείργαστο ὡς μηδὲ δύνασθαι τοῖς
συνειλεγμένοις ὁμιλῆσαι· διὸ καὶ διὰ γραφῆς τούτοις τὸ ἑαυτοῦ 15
26 παρέστησε βούλημα. ὑποστρέψας δ' ἐκεῖθεν εἰς τὰ βασίλεια τὴν
ζωὴν ἐξεμέτρησε, βασιλεύσας ἔτη τρία, μῆνας δέκα καὶ ἡμέρας
ὀκτώ.

10 ἀνάρρησις Μαυρικίου (μαβρικίου E) καὶ Τιβερίου τελευτή CE 18 τελευτὴ Τιβερίου: Καὶ ἀναγόρευσις τῆς βασιλείας Μαυρικίου A

1 ante νέων add. ὁ βασιλεὺς Owp νέων καὶ σφριγώντων ἀνδρῶν AEwp, νέων ἀνδρῶν O τοῦ Ewp 3 μαβρίκιον E (sic fere constanter, v. ad XIV 12, 38) ὑπὸ στρατηγὸν E 4 ναρσὴν (sic) A, v. ad XIV 8, 21 τῶν om. D 8 κωνσταντίνῃ Dwp 10 καίσαρας Owp 11 κατὰ τὸ τριβουνάλιον O 12 οἰκεῖον γαμβρὸν om. Owp μαβρίκιον E, v. vs. 3 13 παρουσία AE, παρόντος Owp καὶ τῆς συγκλήτου βουλῆς AEwp, σὺν τῇ συγκλήτῳ βουλῇ (O) 14 δὲ p* invitis ARw

21 Narsete cubiculario addito legato contra Persas ablegavit. Pugna commissa Romanus proelio victor multas urbes et multum agri
22 barbaris ademit. Mauricium reversum rex honorifice excipit et
23 desponsa Constantina filia generum asciscit. Alteram Charitonem duci Germano in matrimonium dedit et utrumque Caesarem de-
24 signavit. Cum autem tabe laboraret, lectica in tribunal perlatus Mauricium generum proclamari iussit regem coram Ioanne
25 patriarcha et patribus conscriptis, morbo ita confectus, ut in concilio ne verba quidem posset facere; quare scriptam iis senten-
26 tiam suam proposuit. Illinc reversus in regiam naturae debitum persolvit. Regnavit annos tres, menses decem, dies octo.

Ὁ δέ γε Μαυρίκιος τῆς τῶν κοινῶν διοικήσεως εἴχετο, 12
στεφθεὶς ὑπὸ τοῦ πατριάρχου Ἰωάννου τοῦ νηστευτοῦ. ἦν δέ, 2
ὅτε τῆς αὐταρχίας ἐπέβη, ἐτῶν τεσσαράκοντα πρὸς τρισίν. ἐγρά- 3
I 291 φετο δ' ἐν τοῖς συμβολαίοις Μαυρίκιος ὁ καὶ Τιβέριος. Χα- 4
5 γάνος δέ, ὁ τῶν Ἀβάρων ἀρχηγός, τὸ Σίρμιον χειρωσάμενος
ἐζήτησε προστεθῆναι ταῖς ὀγδοήκοντα χιλιάσι ταῖς ἐτησίως αὐτῷ
παρεχομέναις καὶ ἑτέρας εἴκοσι· καὶ ὁ βασιλεὺς εἰρηνεύειν ἐθέ- 5
λων τὴν προσθήκην ταύτην ἐποίησεν. ὁ δὲ καὶ ἐλέφαντα ᾔτησε, 6 P II 74 A
μήπω τὸ ζῷον ἰδών. τὸν μείζονα τοίνυν ὧν εἶχεν ὁ βασιλεὺς 7
10 αὐτῷ πέπομφεν. ὁ δὲ Χαγάνος ἀπληστευόμενος ἢ προφάσεις 8
τοῦ μὴ εἰρηνεύειν ζητῶν, ἑτέρας εἴκοσι χιλιάδας ταῖς ἑκατὸν
προστεθῆναι ἀπήτησε. μὴ καταδεξαμένου δὲ καὶ ταύτην τὴν 9
προσθήκην τοῦ βασιλέως ἐστράτευσε κατὰ Ῥωμαίων ἐκεῖνος
καὶ πόλεις πολλὰς τοῦ Ἰλλυρικοῦ ἐχειρώσατο· ἠπείλει τε καὶ
15 τὸ Μακρὸν καταστρέψαι τεῖχος. στείλας οὖν πρέσβεις πρὸς τὸν 10
βάρβαρον ὁ Μαυρίκιος σπονδὰς ἔθετο. ὁ μέντοι Χαγάνος 11

1 *βασιλεία Μαυρικίου* (*μαβρικίου* E) CDE 4 *περὶ Χαγάνου* CE

1 *Ὁ δέγε μαυρίκιος* (*μαβρίκιος* E, v. ad p. 182, 3) AE, *μαυρίκιος δὲ* Owp 2 *τοῦ* ante *πατρ.* om. D *τοῦ* alterum om. CD 3 *ἐγγράφετο* E 4 *ὁ* om. E 5 *δὲ* AEwp, *μέντοι* O *σήρμιον* D, corr. Dw 6 *ἐζήτησε* AR Theophyl. Simoc. p. 39, 8 (v. XIV 14, 10), *ἐξήτησε* w*p 7 *εἴκοσι* R*Di*, *εἴκοσιν* ADwp, v. ad XIII 1, 5 *καὶ ὁ*] *ὁ δὲ* D 8 *ἐποίησε* B^s wp, v. ad XIII 1, 5 *ᾔτησε* ARwp Theoph. I p. 253, 2 (v. Cedr. I p. 691, 23), *ἐζήτησε* BD 9 *μείζονα*] De comparativo v. ad XIII 3, 6 *ὃν* A, *ὧν* Rwp*Di*, *τὸν μείζονα πάντων* Theoph. I p. 253, 3, *ἐκ τῶν παρ' αὐτῷ τρεφομένων θηρίων τὸ ἐξοχώτατον* Theophyl. Simoc. p. 39, 11 12 *καὶ* initio vers. om. D 14 *τὲ* A(Rwp), *δὲ* *Di*, v. ad XIII 10, 18 16 *ὁ μέντοι* AEwp, *ἀλλ' ὁ* O

12. MAVRICIVS a patriarcha Ioanne ieiunatore coronatus rerum administrationem suscepit, natus annos tres et quadraginta. 2 Scribebatur in contractibus Mauricius, qui et Tiberius. Chaganus 3. 4 autem, Avarum dux, Sirmio potitus oravit, ut LXXX milibus annui tributi adhuc viginti milia adderentur; quod additamentum 5 rex pacis conservandae studiosus non detrectavit. Postea etiam 6 elephantum petenti, quod eiusmodi belluam nunquam vidisset, 7 maximum eorum, quos habebat rex, misit. Verum Chaganus aut 8 incitatus insatiabilitate aut rumpendae pacis causas quaeritans postulavit, ut centenis illis alia vicena milia adicerentur. Quod 9 cum rex recusasset, ille bello Romanis illato multas urbes Illyrici subegit, minatus se Longum Murum etiam eversurum. Ita- 10 que Mauricius missis ad barbarum legatis pacem cum eo facit. Sed Chaganus, ut insatiabilis ac perfidus, dolo Romanos aggres- 11

ἄπληστος καὶ ἄπιστος ὤν, δόλῳ κατὰ Ῥωμαίων ἐγίνετο, αὐτὸς
B μὲν ἡσυχάζων, ἔθνη δέ τινα τῶν Σκλαβηνῶν παρασκευάσας
τὴν ὑπὸ Ῥωμαίους λῃίζεσθαι, οἳ καὶ μέχρι τοῦ Μακροῦ τεί-
12 χους πεφθάκασιν. ὁ βασιλεὺς δὲ Κομεντίολον στρατηγὸν προ-
βαλόμενος καὶ δι' αὐτοῦ τοῖς βαρβάροις ἀθρόως ἐπεξελθών, 5
τῶν Ῥωμαϊκῶν αὐτοὺς ὁρίων ἀπήλασεν, ἀναιρεθέντων πολλῶν,
καὶ τὴν λείαν ὅσην ἔλαβον καὶ τοὺς αἰχμαλώτους ἐπανεσώσατο.
13 Φιλιππικῷ δὲ τὴν ἰδίαν συζεύξας ἀδελφὴν κατὰ Περσῶν αὐτὸν
14 σὺν βαρεῖ στρατεύματι ἐξαπέστειλεν. ὁ δὲ ἄγχιστα τῇ Νισίβει
γενόμενος κἀκεῖθεν ἐμβαλὼν τῇ Περσίδι, ἤλασεν ἐκεῖθεν λείαν 10
πολλὴν καὶ ἐπανιὼν τῇ τῶν Μήδων χώρᾳ προσέβαλε καὶ ταύτης
C 15 οὐ μείω τινὰ λῃσάμενος ἐπανῆλθεν ἐς τὰ Ῥωμαίων. καὶ αὖθις
16 δὲ τοῖς Περσικοῖς ἐπελθὼν χωρίοις ὁμοίως εὐτύχησε. νοσήσας
μέντοι εἰς Μαρτυρόπολιν παραγίνεται, κἀκεῖθεν ἐπανῆκεν εἰς D III
17 τὸ Βυζάντιον. ἐτέχθη δὲ τῷ Μαυρικίῳ υἱός, ὃν ὠνόμασε 15

1 ante *καί* add. *τε* Rwp 4 *πεφθάκασιν*] v. Steph. thes. VIII p. 751 D *προβαλλόμενος* CEwp, v. ad XIV 11, 5 5 *ἀθρόον* DEwp *ἐπεξελθὼν* Owp*Di*, *ὑπεξελθὼν* A(E) 8 *φιλιππικῷ* ARp, *φιλιππῷ* w*, *Wo* lat.: Philippicum *ζεύξας* CD 9 *βαρὺ* (sic) A *τὴν νισίβιι* D 11 *ἐπανελθὼν Di* invitis ARwp (Haasii ann. ad vs. 13 pertinente perperam relata ad hunc versum) 12 *ἐπανῆλθεν* ARwp, *ἐπανῆλθε* D, *ἐπανῆκεν Di* (Haasii ann. ad vs. 14 pertinente perperam relata ad hunc versum) *εἰς* DEwp*Di*, *ἐς* AR, v. ad XIV 12, 44. 16, 3. XV 7, 13. 12, 18. 19, 1. 23, 3; variat autem Zonaras inter *εἰς* et *ἐς*, ut XV 22, 28 *ἐς λόγους ἦλθεν αὐτοῖς καὶ ἥκων εἰς λόγους* et p. 172, 14 s. 13 *ἐπανελθὼν* A, *ἐπελθὼν* Rwp*Di* *χωρίοις* AEwp, Theoph. I p. 254, 2, Cedr. I p. 692, 14, *ὁρίοις* O*Di* 14 *μέντοι*] *μέντοι* des. B fol. 352[u] *εἰς μαρτυρόπολιν* inc. B fol. 360[r] *μαρτυρούπολιν* D, v. ad XVII 5, 12 *ἐπανῆλθεν* Ewp

sus ipse quievit, Sclavorum vero gentes quasdam ad populandas provincias concitavit, quae usque ad Longum murum sunt pro-
12 gressae. Quapropter rex Comentiolo duce creato barbaros subito aggressus Romanis finibus expulit, multis caesis et praeda
13 omni captivisque receptis. Philippicum sorore desponsa cum manu
14 validissima contra Persas misit, qui cum proxime Nisibim pervenisset atque inde in Persiam irrupisset, magna praeda abacta in reditu impressionem in Mediam fecit et ibi quoque praeda non
15 minore parta in Romanas provincias rediit; inde iterum Persicos
16 fines ingressus rem aeque prospere gessit. Sed propter morbum
17 Martyropolim atque inde Byzantium rediit. Mauricio natus est
18 filius, quem nominavit Theodosius. Philippicus denuo expedi-

Θεοδόσιον. Φιλιππικὸς δὲ καὶ πάλιν κατὰ Περσῶν ἐξεστρά- 18
τευσε καὶ τὸ περὶ αὐτὸν στρατιωτικὸν ἠρώτησεν εἰ πρόθυμοι W III 61
τοῖς Πέρσαις εἶεν μαχέσασθαι. οἱ δὲ καὶ ὅρκοις τὸ πρόθυμον 19
αὐτῶν ἐβεβαίουν. ὡς οὖν συνέβαλον τοῖς ἐναντίοις, μέχρι μέν 20
5 τινος ἀντεῖχον οἱ βάρβαροι· ἐπεὶ δὲ τοὺς ἵππους πλήττειν αὐτῶν
ὁ στρατηγὸς τοῖς οἰκείοις παρεκελεύσατο καὶ πολλοὶ τῶν ἵππων
πληττόμενοι ἔπιπτον, ἐτράπη τὸ Περσικόν· καὶ τὸ μὲν ἥττητο 21 D
κραταιῶς καὶ πολὺ τούτου μέρος διέφθαρτο· οἱ Ῥωμαῖοι δὲ
λαμπρῶς νενικήκασι καὶ ζῶντας τῶν πολεμίων περὶ δισχιλίους
10 συνέλαβον. Ὁρμίσδας δὲ ὁ τῶν Περσῶν ἀρχηγὸς Βαρὰμ προ- 22
χειρισάμενος στρατηγὸν συμβαλεῖν Ῥωμαίοις ἐκέλευσεν. ὁ δὲ 23
συμβαλὼν ἡττᾶται· ὃ γνοὺς Ὁρμίσδας γυναικείαν ἐσθῆτα στέλλει
αὐτῷ καὶ τὴν στρατηγίαν ἀφείλετο καὶ τῷ ὑποστρατήγῳ αὐτοῦ
διὰ γραφῆς ἐνετείλατο τὸν Βαρὰμ ἀνελεῖν. ὁ δὲ οἷ κακοῦ γέ- 24
15 γονεν ἐννοήσας, γράμματα ὡς ἐξ Ὁρμίσδου αὐτῷ σταλέντα

10 *περὶ Βαρὰμ τοῦ* (*τῶν* E) *Περσῶν στρατηγοῦ* CE

1 *Θεοδόσιον*] Ad haec C. B. Hasius secundum F. Haasium in cod. A ascripsit: "In cod. graeco Vaticano 152 de istius filii nativitate haec Anonymi narrantur fol. 141 recto, nescio an et aliunde nota: *Κωνσταντίνα ἡ γαμετὴ Μαυρικίου ἐγέννησεν υἱόν, ὃν ὁ Μαυρίκιος ἐπωνόμασε Θεοδόσιον, ὡς πρωτότοκον αὐτοῦ υἱόν. τῶν οὖν βενέτων κραζόντων Ἰουστινιανὸν καλεῖσθαι, οἱ πράσινοι ἔκραζον Θεοδόσιον αὐτὸν καλεῖσθαι διὰ τὸ Θεοδόσιον τὸν βασιλέα ὀρθόδοξον γενέσθαι, καὶ πολλὰ ἔτη ζῆσαι· ἤρξαντο* [in apogr. Haasii *ἤξαντο*] *οὖν οἱ βένετοι λέγειν οὕτως· ΤΑ ΔΩΡΗΘΕΝΤΑ ΕΤΗ ΤΩι ἸΟΥΣΤΙ-ΝΙΑΝΩι ὁ θεὸς ΠΑΡΑΣΧΗι ΣΟΙ ΕΝ ΕΙΡΗΝΗι. ὅτι εἰσὶν Ϟ' ἔτη καὶ πλείω.* Eadem leguntur cod. Vat. 977 fol. 184 verso." Nunc nil tale extat in A. *ἐξεστράτευσε* RwpDi, *ἐξεστράτευσεν* A, sed v. ad XIII 1, 5 4 *συνέβαλλον* E 6 *ὁ στρατηγὸς* om. C 8 *μέρος* om. O 8. 9 *οἱ δὲ ῥωμαῖοι λαμπρῶς* Ew (*λαπρῶς* w*) p 10. 12 *ὀρμίσδας* E 10 *ἀρχηγὸς* ARwp, *βασιλεὺς* D 14 *οἷ* ARw, *οἳ* D, *οἷον* B, *οἷον* p

tione facta adversus Persas milites suos percontatur, num alacres essent ad pugnam Persicam; iis vero etiam iureiurando alacri- 19 tatem suam testatis hostes aggreditur. Qua in pugna etsi ad 20 tempus barbari restiterunt, tamen cum dux suis imperasset, ut illorum equos caederent multique equi vulnerati cecidissent, Persae 21 fugam ceperunt, potenter victi magnaque clade accepta; Romani vero illustrem victoriam consecuti ad duo milia hostium viva ceperunt. Hormisdas, Persarum rex, Baramum ducem congredi 22 cum Romanis iussit. Quem ut victum esse cognovit, abrogato 23 illi imperio vestem muliebrem mittit eiusque legato per litteras mandat, ut Baramum occidat. Sed ille, quantis in malis esset 24 reputans, litteras ab Hormisda ad se missas esse simulat, quibus

ἐπλάσατο, ὀργὴν ἐμφαίνοντα κατὰ παντὸς τοῦ στρατεύματος,
καὶ συναθροίσας αὐτὸ τά τε γράμματα εἰς ἐπήκοον ἀναγνω-
P II 75 A σθῆναι πεποίηκε καὶ αὐτὸς αὐτοὺς ἀνεμίμνησκε τῆς ἀπηνείας D III
Ὁρμίσδου καὶ τῆς ὠμότητος καὶ διὰ τούτων ἀντᾶραι χεῖρας
25 ἠρέθισε κατὰ τοῦ σφῶν ἀρχηγοῦ. ἐπελθόντες οὖν ἀθρόον 5
26 αὐτῷ κατέσχον καὶ ἐνέβαλον εἰς εἱρκτήν. ὁ δὲ ὑποθέσθαι
αὐτοῖς περὶ τῆς τῶν Περσῶν ἀρχῆς ἠξίου ἅττα τῷ ἔθνει γι-
νώσκει συμφέροντα, καὶ συνεβούλευε μὴ τὸν Χοσρόην υἱὸν αὐτοῦ
ὄντα προκριθῆναι εἰς τὴν ἀρχήν, ἄπληστον ὄντα καὶ ἄδικον,
ὑβριστήν τε καὶ ἀλαζονικώτατον, ἀλλ' ἕτερον υἱὸν αὐτοῦ προ- 10
27 χειρισθῆναι τοῦ ἔθνους ἄρχειν. ἀντιπεσόντων δὲ τοῖς λόγοις
τούτου ἐνίων τῶν ἐν ὑπεροχαῖς καὶ κατ' αὐτοῦ τοὺς Πέρσας
ἐκμηνάντων, ὁ μὲν υἱὸς αὐτοῦ, ὃν εἰς τὴν ἀρχὴν ἐκεῖνος προέ-
B κρινε, καὶ ἡ μήτηρ ἐκείνου ἐνώπιον αὐτοῦ ἀνηρέθη παρὰ τοῦ
28 πλήθους, καὶ αὐτὸς δὲ ἐξεκόπη τὰ ὄμματα καὶ οὕτω καθείρχθη. 15
29 ὁ δέ γε Χοσρόης εἰς τὴν ἀρχὴν ᾑρέθη παρὰ τοῦ ἔθνους παντός·
καὶ μέχρι μέν τινος φιλοφρόνως πρὸς τὸν πατέρα διέκειτο, τῆς
μὲν φρουρᾶς οὐ λύσας αὐτόν, πᾶσαν δὲ θεραπείαν αὐτοῦ ἐκεῖσε

5 καθαίρεσις Ὁρμίσδου ἐκ τῆς ἀρχῆς C 16 ἀνάρρησις Χοσρόου CE

3 αὐτοὺς om. w*p invitis AR 4 ὁρμίσδου E 7 τῶν om. O ἠξίου ἀρχῆς O γινώσκειν E 8. 9 τὸν υἱὸν αὐτοῦ χοσρόην omisso ὄντα D 9 ὄντα AEwp, αὐτὸν λέγων εἶναι R, αὐτὸν εἶναι λέγων B 12 τούτου om. D ἐνίων Rwp*Di*, ἐνὶ A πέρσας AEDwwp, ὁμογονεῖς O, populares: *Wo* lat. 13 εἰς ARwp, καὶ D, ἐς Dw 14 ἐκεῖνου] αὐτοῦ D αὐτοῦ] ἐκείνου D 14. 15 ἀνηρέθη (ἀνηρέθησαν E) παρὰ τοῦ πλήθους AE, παρὰ τοῦ πλήθους εὐθὺς ἀνηρέθησαν O, εὐθὺς ἀνηρέθησαν παρὰ τοῦ πλήθους w*p 16 ἠρέθη D, corr. Dw 17 πρὸς τὸν πατέρα φιλοφρόνως διέκειτο Ewp

iracundiam suam adversus omnem exercitum declaret easque militibus convocatis palam omnibus recitari iubet atque Hormisdae saevitia et immanitate commemorata eos ad bellum domino
25 suo inferendum concitat. Subito igitur eum aggressi captum in
26 carcerem coniecerunt. At ille professus se consilium iis de Persarum imperio daturum, quod populo sciat bono futurum, monet, ne filium suum Chosroem regem creent, hominem inexplebilem et iniustum, insolentem ac supercilii intolerandi, sed alium e suis
27 filiis ad imperium eligant. Cuius sententiae nonnullis procerum refragatis, Persae contra eum concitati filium, cui regnum decre-
28 verat, et matrem illius in conspectu eius occiderunt; ipse oculis
29 erutis in carcerem compactus est. Chosroes a tota gente rex eligitur; qui ad tempus patrem bene tractavit et quamquam e custodia non eduxit, in ea tamen omnem ei cultum praestitit.

ποιούμενος. ὁ δὲ οὐδὲν τῶν παρὰ τοῦ υἱοῦ αὐτῷ στελλομένων 30
προσίετο, ἀλλὰ καὶ ὕβρεσι μᾶλλον τὰς φιλοφροσύνας ἠμείβετο.
θυμῷ οὖν διὰ ταῦτα ληφθεὶς ὁ Χοσρόης, ῥοπάλοις ἐκέλευσε 31
κατὰ τῶν λαγόνων τυπτόμενον τὸν πατέρα θανεῖν. τοῦτο μῖσος 32
5 *ἐγγενέσθαι τοῖς Πέρσαις κατὰ Χοσρόου ἐποίησεν· ὁ δὲ κατὰ* 33
Βαρὰμ ἐξεστράτευσε, καὶ ὑποπτεύσας τινὰς τῶν παρ' αὐτῷ
μεγιστάνων τῷ Βαρὰμ προσκεῖσθαι ἀνεῖλεν αὐτούς. τοῦ δὲ 34
στρατεύματος κατ' αὐτοῦ στασιάσαντος, δείσας ἐκεῖνος μετά C
τινων ὀλίγων ἀποδιδράσκει καὶ πρὸς Ῥωμαίους ἀφίκετο. ὃ 35
10 *μαθὼν ὁ Μαυρίκιος κελεύει τῷ στρατηγοῦντι τῆς χώρας ὑπο-*
294 *δέξασθαι τὸν Χοσρόην βασιλικαῖς θεραπείαις καὶ δεξιώσεσι.*
στέλλει δὲ Ναρσῆν μετὰ στρατευμάτων συμμαχῆσαι Χοσρόῃ 36
καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς τὴν οἰκείαν ἀρχήν. συμβαλὼν 37
τοίνυν ὁ Ναρσῆς τῷ Βαρὰμ νίκην ἤρατο περιφανῆ, πολλοὺς
15 *μὲν τῶν Περσῶν ἀνελών, ζωγρήσας δὲ περὶ ἑξακισχιλίους, οὓς*
τῷ Χοσρόῃ προσήγαγεν· ὁ δὲ κατηκόντισεν ἅπαντας. ὅσοι δ' 38
ἐν τοῖς ζωγρηθεῖσιν ἦσαν τοῦ Τούρκων ἔθνους τῷ Βαρὰμ
συμμαχοῦντες, τούτους ἀνέπεμψεν εἰς Μαυρίκιον, ὧν πολλοὶ D

3 *ἀναίρεσις Ὁρμίσδου* (*ὁρμ.* E) CE 7 *ἐπανάστασις κατὰ τοῦ* (om. E) *Χοσρόου καὶ φυγὴ αὐτοῦ πρὸς Ῥωμαίους* CE 16 *περὶ τῶν ἑαλωκότων Τούρκων* (*τουρκῶν* E) CE

1 *αὐτοῦ* D *στελλομένων* Rwp*Di*, *στελλόμενον* A, *τελουμένων* D 2 *καὶ* om. D 3 *γοῦν* Ewp 5 *γενέσθαι* D ante *χοσρόου* add. *τοῦ* Rwp *ἐποίησε* Ewp*Di*, *ἐποίησεν* AO, v. ad XIII 1, 5 6 *βαραὰμ* D, v. ad XIV 12, 40 *ὑποπτεύσας* AO, | *ὑπολαβὼν* E, om. w*p, sed *Wo* lat.: suspicatus 7 *προςκυνεῖσθαι* E 9 *καὶ ῥωμαίους προςρύεται* O 13 *αὐτῷ* C 14 *ἤρατο νίκην* O 17 *γένους* Ewp 18 *τούτοις* E *μαυρίκιον* E (v. ad XIV 11, 20 et argum. ad XIV 12, 47. 13, 7)

Qui cum nihil, quod a filio proficisceretur, gratum haberet, immo 30 contumelias pro beneficiis reponeret, iratus Chosroes patrem la- 31 tera fustibus tundendo occidi iussit. Id facinus odium Persarum 32 Chosroi peperit. Suscepta contra Baramum expeditione quosdam 33 ex proceribus suis illi studere suspicatus occidit. Sed militari 34 seditione perterritus cum paucis ad Romanos confugit. Eo Mau- 35 ricius cognito praetori provinciae mandat, ut Chosroem regio cultu et honore suscipiat, et Narsetem cum legionibus auxilio 36 mittit ad regnum recuperandum. Narses igitur cum Baramo con- 37 gressus illustri victoria potitur, Persarum multis occisis et ad sex milia captis; quos Chosroes ad se adductos iaculis omnes confe- cit. Qui vero capti ex Barami sociis Turcicae nationis erant, 38 eos ad Mauricium misit, quorum multi in frontibus cruces gere-

ἐπὶ τῶν μετώπων σταυροὺς ἔφερον, καταστιχθέντων αὐτοῖς τῶν ἐπισκυνίων καὶ μέλανος ἐγχεθέντος τοῖς στίγμασιν εἰς τύπον
39 *σταυροῦ. οἳ περὶ τούτου ἐρωτώμενοι ἔλεγον πρὸ καιροῦ ἱκανοῦ λοιμῷ τὸ γένος αὐτῶν διαφθείρεσθαι, τινὰς δὲ τῶν παρ' αὐτοῖς χριστιανῶν ὑποθέσθαι τοῦτο αὐτοῖς, καὶ μηδένα τῶν τοῦτο πε-* 5
40 *ποιηκότων κινδυνεῦσαι ἐκ τοῦ λοιμοῦ. ὁ μὲν οὖν Βαρὰμ ἡττη-*
W III 62 *θεὶς φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο· ὁ δὲ Χοσρόης εἰς*
41 *τὴν ἰδίαν ἀρχὴν καὶ χώραν ἐπανελήλυθε. λέγεται δὲ πρὸ τῆς νίκης, τοῦ στρατηγοῦ τῶν Ῥωμαίων ἄλλως διατιθέναι σκεπτομένου τὸν πόλεμον, τὸν Χοσρόην ἐνίστασθαι μὴ κατὰ τὸ δοκοῦν* 10 *ἐκείνῳ συγκροτῆσαι τὴν μάχην, ἀλλ' ἄλλον ὑποτιθέναι τρόπον·*
P I 176 A 42 *τὸν δὲ στρατηγὸν ἀσύμφορον εἶναι λέγειν τὸ οὕτω μαχέσασθαι, καὶ τὸν Χοσρόην τοῦ σκοποῦ μὴ μεθίεσθαι, ὥστε παροξυνθέντα τὸν στρατηγὸν ἀποσκῶψαι πρὸς τὸν Χοσρόην, ἀστρατή-*
43 *γητον αὐτὸν εἰπόντα καὶ ἀδαῆ πολεμικῶν παρατάξεων. τὸν* 15 *δὲ δηχθέντα ἐπὶ τοῖς σκώμμασιν, ὄντα δὲ καὶ ἐν γνώσει τῆς*

6 *ὅσα ὁ Χοσρόης περὶ τοῦ μέλλοντος ἀπεφοίβασεν, ὡς τὰ ἐσόμενα εἰδὼς ἐξ ἀστρολογίας* C. Haec delineata sunt in Em:



2. 3 *εἰς τύπον σταυροῦ* post *ἐπισκυνίων* O*Di*   2 *ἐγχυθέντος* DEwp, sed v. I p. 17, 9. 56, 15. 153, 7. 161, 11 cet.   3 *τούτο* (sic) E   *ἱκανοῦ* om. O   4 *λιμῷ* w*p invitis AR   *τινὰς δὲ* AEwp, *καί τινας* R, *καί τινα* D   5 *καὶ μηδένα* AEwp, *μηδένα δὲ* O   6 *λιμοῦ* w*p invitis AR   *βαραὰμ* D (supra praeter XIV 12, 33 constanter *βαρὰμ*)   7 *φυγῇ* Owp*Di*, *φυγὴ* AE   8 *οἰκείαν* C   16 *δὲ δὴ χθέντα* D, corr. D_w *σκώμασιν* AED, *σκώμμασιν* RD_w*Di*, v. ad p. 189, 4   *δὲ* post *ὄντα* om. D

bant compunctis superciliis infusoque stigmatis atramento in
39 crucis modum. Cuius rei quaesita causa respondebant superioribus temporibus cum sua gens pestilentia periclitaretur, se a Christianis quibusdam monitos hoc fecisse neque quemquam ex
40 iis, qui paruissent, pestilentia periisse. Baramus superatus fuga salutem quaesivit, Chosroes in regnum et patriam reversus est.
41 Fertur autem ante victoriam, cum dux Romanorum certam belli administrandi rationem secuturus esset, institisse Chosroes, ne id consilium exsequeretur, et alium instruendae aciei modum pro-
42 posuisse; quem cum dux inutilem esse affirmaret neque tamen Chosroes de sententia decederet, etiam salibus dicitur dux incessisse regem, ut rei militaris et instruendae aciei imperitum.
43 Quibus irrisionibus Chosroes fertur irritatus, qui stellarum motus

κατὰ τοὺς ἀστέρας κινήσεως κἀντεῦθεν αὐχοῦντα γινώσκειν τὰ
μέλλοντα, φάναι "εἰ μὴ ὑπὸ τῶν πραγμάτων ἐτυραννούμεθα,
295 οὐκ ἂν ἐθάρσησας, στρατηγέ, τὸν μέγαν βασιλέα βάλλειν τοῖς
σκώμμασιν. ὅτι δὲ τοῖς παροῦσι μέγα φρονεῖς, ἄκουσον τί 44
5 δῆτα τοῖς θεοῖς ἐς ὕστερον μεμελέτηται. ἀντικαταρρεύσει, εὖ
ἴσθι, ἐς τοὺς Ῥωμαίους ὑμᾶς δεινά. ἕξεται δὲ τὸ Βαβυλώνιον 45
φῦλον τῆς Ῥωμαϊκῆς χώρας τριττὴν κυκλοφορικὴν ἑβδομάδα B
ἐτῶν. μετὰ δὲ τοῦτο πεμπταίαν ἑβδομάδα ἐτῶν Ῥωμαῖοι Πέρ- 46
σας δουλαγωγήσετε." τούτων δὲ διηνυσμένων τὴν ἀνέσπερον
10 ἡμέραν ἐνδημῆσαι ἀνθρώποις. ἀλλὰ ταῦτα μὲν ταύτῃ.

Ὁ δὲ αὐτοκράτωρ Μαυρίκιος τὸν υἱὸν Θεοδόσιον ἀνηγό- 47
ρευσε βασιλέα κατὰ τὸ πάσχα στεφθέντα ὑπὸ τοῦ πατριάρχου
Ἰωάννου. καὶ τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων 48
πρῴην ἀρχθέντα κτίζεσθαι παρὰ Τιβερίου, ἀτελῆ δὲ καταλει-
15 φθέντα, αὐτὸς ἀνεπλήρωσεν. εἰρήνης δὲ γεγονυίας πρὸς Πέρσας, 49
τὰς δυνάμεις ἐξ ἑῴας ἐπὶ τὴν Θρᾴκην μετήνεγκε καὶ αὐτὸς

6 σημείωσαι ξένον B 11 ὅτι τὸν υἱὸν ὁ Μαυρίκιος (v. ad XIV 11, 20) ἔστεψε (ἔστεψεν C). περὶ τοῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα (μʹ C) CE

4 σκώμμασιν ARwp, σκώμασιν DE, v. ad p. 188, 16 6 ἐς AR Theophyl. Simoc. p. 234, 12, εἰς EwpDi, v. ad XIV 12, 14 ante δεινὰ add. τὰ Dwp 8 μετὰ δὲ — ἐτῶν om. C ταῦτα B πεμπταίαν AEwp, πεμπτέαν B, πέμπτην D 9 τούτων δὲ des. B fol. 360 διηνυσμένων inc. B fol. 354 9. 10 τὴν ἀνέσπερον ἡμέραν ἐνδημῆσαι ἀνθρώποις A, τὴν ἀνέσπερον ἡμέραν ἐνδημεῖν τοῖς ἀνθρώποις Theophyl. Simoc. p. 234, 17, Cedr. I p. 696, 19, ἡ ἀνέσπερος ἡμέρα ἐνδημήσει ἀνθρώποις O, ἡ ἀνέσπερος ἀνθρώποις ἐνδημήσει ἡμέρα Ewp 10 ἀλλὰ om. O post μὲν add. οὖν O 11. 12 ἀνηγόρευσε βασιλέα τὸν υἱὸν θεοδόσιον O 14 ὑπὸ O 15 γεγονυῖας Ewp

peritus esset atque futurarum rerum praescientia gloriaretur, dixisse: "Nisi tempori serviendum esset, non ausus esses, dux, magnum regem salibus incessere. Quia vero rebus praesentibus 44 insolescis, audi, quid in futurum dii constituerint. Scito res adversas ad vos Romanos esse redituras et gentem Babylonicam triplici 45 annorum septenario circuitu Romanam dicionem obtenturam. Post 46 illud autem vos Romani quintum septenarium annorum Persas servitute premetis." Iis peractis diem sine vespere hominibus illucescere. Haec ille.

Imperator autem Mauricius filium Theodosium appellat regem 47 eumque patriarcha Ioannes in paschate diademate ornat. Aedem 48 quadraginta martyrum incohatam pridem a Tiberio necdum perfectam absolvit. Pace cum Persis facta, legiones ex Oriente in 49 Thraciam revocavit et ipse Byzantina terra egressus loca a bar-

C ἐξῆλθε τῆς Βυζαντίδος τὰ ὑπὸ τῶν βαρβάρων κατεστραμμένα
50 θεάσασθαι. ὅτε καὶ ὁ ἥλιος ἐσκιάσθη, καὶ γυνή τις ἐν Θρᾴκῃ
παιδίον ἔτεκεν οὔτε ὀφθαλμοὺς οὔτε βλέφαρα ἔχον οὔτε χεῖρας
οὔτε βραχίονας, ἰχθύος δὲ οὐραῖον πρὸς τῷ ἰσχίῳ προβεβλη-
51 μένον. τοῦ μέντοι Χαγάνου τῇ Θρᾴκῃ ἐπελθόντος μετὰ πλή- 5
θους ἀπείρου, ὁ τῶν Ῥωμαίων στρατηγὸς Πρίσκος δείσας εἰς
τὸ φρούριον Τζουρουλοῦ συνέκλεισεν ἑαυτόν. ὁ δὲ βάρβαρος
52 πολιορκεῖν αὐτὸ ἡτοιμάζετο. τότε κατεστρατήγησεν ἐκεῖνον Μαυ-
ρίκιος τρόπῳ τοιούτῳ· γράμμα πρὸς Πρίσκον συντίθησιν ἀντέ-
χειν αὐτὸν παραινοῦν· μικρὸν γὰρ ὅσον τοὺς βαρβάρους μετ' 10
D 53 αἰσχύνης ἀναχωρῆσαι. στέλλεσθαι γὰρ πλοῖα εἰς τὴν χώραν
αὐτῶν σὺν στρατεύματι λῃίσασθαι τὰς οἰκίας αὐτῶν καὶ τὰς
54 γυναῖκας καὶ τοὺς παῖδας αὐτῶν δορυαλώτους ἑλεῖν. τοῦτο
τὸ γράμμα δίδωσί τινι, ἐπισκήψας αὐτῷ περιπεσεῖν τοῖς βαρ- D I
55 βάροις ἐν τῷ πρὸς Πρίσκον δῆθεν πορεύεσθαι. οὗ γενομένου, 15
τὴν ἐπιστολὴν ὁ βάρβαρος ἀναγνοὺς καὶ δείσας περὶ τοῖς οἰκείοις,

2 σημείωσαι AE 5 ὅπως ὁ Μαυρίκιος πολιορκοῦντα τὸν Χαγάνον τὴν Τζουρουλὸν παρεσκεύασε καὶ ἄκοντα σπείσασθαι C

2 ἡ γυνή τις D, γυνή transposito τις post Θράκῃ B post ἐν add. τῇ CD*Di* 4 οὐραῖον Rwp*Di*, οὐραίῳ A τῷ ἰσχύω A, τὸ ἰσχίω E, τῷ ἰσχίῳ R, Theophyl. Simoc. p. 241, 22, Theoph. I p. 268, 21, Cedr. I p. 696, 1, τὸ ἰσχίον Dwp post ἰσχίον add. ἄνω Dwp 5 τοῦ om. O χαγάνου μέντοι O τὴν θράκην D 6 πρίσκος om. O *Wo* lat. δείσας ARp, δείξας w*, territus: *Wo* lat. 8 ἐκεῖνον Ewp 9 γράμματα BEwp ἀνέχειν C 10 παραινοῦν AR, παραινῶν w*p 11 πλοῖα A Theophyl. Simoc. p. 250, 10, τριήρεις Rwp 12 σὺν στρατεύματι — αὐτῶν om. D ληϊσομένῳ B, ληϊσαμένῳ C 13 αὐτῶν om. C δοριαλώτους *Di*, v. ad XIII 8, 3 14 ἐπισκέψας E 16 τῶν οἰκείων Ewp, v. XIV 14, 36 et Kruegerum *Griech. Sprachl.* § 68, 32 A.

50 baris eversa contemplari voluit. Quo tempore et sol defecit et
mulier quaedam in Thracia puerum peperit sine oculis, sine pal-
pebris, sine manibus ac brachiis, cauda piscina usque ad coxen-
51 dices porrecta. Verum Chagano cum infinita multitudine Thra-
ciam ingresso, Priscus, Romanorum dux, territus in castello quo-
52 dam Tzuruli se conclusit. Mauricius autem barbarum obsidionem
parantem tali sollertia circumvenit. Epistulam ad Priscum mittit
monentem, ut obsidionem toleret. Nam barbaros intra exiguum
53 tempus cum ignominia recessuros; missis enim in regionem eorum
cum exercitu navibus, domibus eorum direptis uxores et liberos
54 captivos abduci. Hanc epistulam cuidam tradit ac mandat, ut
55 in itinere ad Priscum de industria se barbaris offerat; quo facto

σπένδεται πρὸς Πρίσκον ἐπὶ δώροις ὀλίγοις καὶ ἄπεισιν. ἔκτισε 56
δὲ Φιλιππικὸς ἐν Χρυσοπόλει μονὴν ἐπ' ὀνόματι τῆς Θεοτόκου
καὶ οἶκον ἐν ταύτῃ λαμπρότατον, ἵν' ἐν αὐτῷ τὸν Μαυρίκιον
ὑποδέχοιτο.

5 Ὁ δέ γε Κωνσταντινουπόλεως πατριάρχης Ἰωάννης ὁ 13
νηστευτὴς τὸν βίον λιπὼν πρὸς τὰς ἀϊδίους μετέστη μονάς,
κοσμήσας τὸν ἀρχιερατικὸν θρόνον ἐπὶ ἔτη τρισκαίδεκα καὶ P II 77 A
ἐπέκεινα. προεχειρίσθη οὖν πατριάρχης Κυριακός, ἱερεὺς καὶ 2
οἰκονόμος τῆς ἐκκλησίας τῆς μεγάλης. ὑφ' οὗ ὁ τῆς ὑπεραγίας 3
10 θεοτόκου ναός, ὃς τῆς Διακονίσσης λέγεται, ᾠκοδόμηται. καὶ 4
Πέτρος, ὁ τοῦ Μαυρικίου ὁμαίμων, τὸν ναόν, ὃς τοῦ Ἀρεο-
βίνδου καλεῖται, τῇ θεοτόκῳ ἀνήγειρε. Σοφία δὲ ἡ βασιλὶς 5
καὶ ἡ Αὐγούστα Κωνσταντῖνα στέμμα προσήνεγκαν τῷ βασιλεῖ W III 63
λίθοις ὑπερτίμοις καὶ μαργάροις ὑπερφυέσι κεκοσμημένον. ὁ 6
15 δὲ τοῦτο λαβὼν ἀνέθετο τῷ θεῷ, τῇ ἐκκλησίᾳ προσαγαγών.

Ὁ Χαγάνος μέντοι καὶ αὖθις πρὸς τὰ Ῥωμαίων ἐχώρησε. 7
καὶ τούτῳ τῶν Ῥωμαϊκῶν στρατευμάτων ἀντιταττομένων, ποτὲ

1 *περὶ τῆς τοῦ Φιλιππικοῦ μονῆς* E 5 *περὶ πατριαρχῶν* CE 16 *περὶ τῶν παρὰ* (om. E) *τοῦ Χαγάνου πωλουμένων αἰχμαλώτων, οὓς ὁ βασιλεὺς Μαυρίκιος* (v. ad XIV 11, 20) *οὐκ ὠνήσατο* CE

2 *ἐν Χρυσοπόλει* om. O, add. AEwp, Theoph. I p. 272, 22, Cedr. I p. 698, 8 3 *μαβρίκιον* E, v. ad XIV 11, 20 5. 6 *πατριάρχης ἰωάννης ὁ νηστευτὴς* AO, *ἰωάννης ὁ νηστευτὴς καὶ πατριάρχης* Ewp 8 *προεχειρίσθη οὖν* A, *προεχειρίσθη γοῦν* Ewp, *καὶ προεχειρίσθη* O 9 *τῆς μεγάλης ἐκκλησίας* Rwp 10 *ὃς* | *ὁ* D 13 *κωνσταντίνα* ARwp, corr. *Di*, v. ad XIV 11, 2 *προςήνεγκαν τῷ βασιλεῖ* A, *προςήνεγκε τῷ βασιλεῖ* E(wp), *τῷ βασιλεῖ πεποιήκασι* O et Parisini Ducangii 14 post *κεκοσμημένον* add. *καὶ οἱ αὐτὸ* (*αὐτῷ* CD) *προςήνεγκαν* O et Parisini Ducangii

cum Chaganus lectis litteris timeret suis, pacem cum Prisco facit paucisque muneribus acceptis domum redit. Philippicus mona- 56
sterium nomine Deiparae Chrysopoli condidit atque aedes splendidissimas, quibus Mauricium exciperet.

13. Interea patriarcha Cpolitanus Ioannes ieiunator vita relicta in aeternas mansiones discessit, cum sedem pontificiam ultra tredecim annos ornasset. Ei successit Cyriacus, presbyter et 2
oeconomus magnae ecclesiae; a quo sacrosanctae deiparae aedes, 3
quae Diaconissae dicitur, exstructa est. Petrus item, Mauricii 4
frater, aedem Areobindi deiparae condidit. Sophia vero regina 5
et Augusta Constantina coronam regi gemmis pretiosissimis et margaritis insignibus ornatam obtulerunt; eam ille in ecclesiam 6
perlatam deo consecravit.

Chaganus Romanas provincias rursus aggressus missas contra 7

8 μὲν ἐκράτει, ἐνίοτε δ' ἥττητο. ἐν μιᾷ δὲ ἡμέρᾳ υἱοὶ αὐτοῦ
B 9 ἑπτὰ ἐκ νόσου λοιμικῆς καὶ πυρετοῦ ἐτελεύτησαν. Κομεντίολον
δὲ στείλας ὁ βασιλεὺς κατὰ Χαγάνου μετὰ πολυπληθοῦς στρατιᾶς λέγεται ἐντείλασθαι αὐτῷ προδοῦναι τοῖς ἐναντίοις τὸ στρατιωτικὸν διά τινας στάσεις καὶ ἀταξίας τούτοις μνησικακῶν. 5
10 καὶ συμβαλὼν τοῖς βαρβάροις ἀσυντάκτως ὁ Κομεντίολος, αὐτὸς μὲν μετὰ τῶν περὶ αὐτὸν εἰς φυγὴν ἐτράπη, πρὸς τοῦτο προ-
11 παρασκευασάμενος. τῶν δὲ λοιπῶν οἱ μὲν ἔπεσον, οἱ δ' ἐζω- D III
γρήθησαν. εἶναι δὲ τοὺς ζωγρηθέντας φασὶ περὶ δώδεκα χι-
12 λιάδας. καὶ ὁ Χαγάνος τῇ νίκῃ ταύτῃ ἐξογκωθεὶς ἄχρι τοῦ 10
13 Μακροῦ τείχους ἀφίκετο. συλλέξας δὲ ὁ βασιλεὺς λαὸν εἰς
C 14 φυλακὴν τοῦ τείχους τούτους ἐκπέπομφεν. ἐκ δὲ τῆς λοιμικῆς νόσου οὐ μόνοι οἱ τοῦ Χαγάνου υἱοί, ὡς εἴρηται, ἔθανον, ἀλλὰ
15 καὶ πλῆθος τῶν Ἀβάρων πολύ· ὅθεν ἀθυμήσας ὁ βάρβαρος
16 ἔσπευδεν εἰς τὰ οἰκεῖα ἐπαναζεῦξαι. δηλοῖ οὖν τῷ Μαυρικίῳ 15
ἐξωνήσασθαι τοὺς αἰχμαλώτους, ἓν ἐφ' ἑκάστῳ διδόντι νόμισμα·
17 ὁ δὲ βασιλεὺς οὐ κατένευσε. καὶ ὁ Χαγάνος ᾔτησε λαβεῖν εἰς
18 ἕκαστον τῶν αἰχμαλώτων ἀνὰ ἥμισυ τοῦ νομίσματος. ὁ δὲ

15 ὅτι μὴ ὠνησαμένου τοῦ βασιλέως τοὺς αἰχμαλώτους ὁ Χαγάνος πάντας (om. E) ἀνεῖλεν CE

3 post κατὰ add. τοῦ Rwp χαγά | μετὰ (sic) A 7 τῶν Rwp*Di*, τὸν A παρασκευασάμενος BC 8 δ'] δὲ Ewp 12 τούτους om. D 13 μόνον CEwp*Di*, v. ad XIV 6, 30 14 ἀβάρων AEwp, βαρβάρων O, barbarorum: *Wo* lat., v. ad XIV 11, 18 15 ἔσπευσεν p* invitis ARw, v. Hultschium *Die erzähl. Zeitf. b. Pol.* VII 2 γοῦν Ewp 16 τοὺς αἰχμαλώτους ἐκπρίασθαι O et P unus vel plures ἐφ' mutatum ex ἐκ C καταβάλλοντι O et P unus vel plures 17. 18 ἐφ' ἑκάστῳ τῶν αἰχμαλώτων λαβεῖν ᾔτει νομίσματος ἥμισυ O et P unus vel plures

8 se Romanas legiones alias vincebat, alias vincebatur. Eius filii
9 septem uno die pestilentia ac febri sunt mortui. Rex misso Comentiolo contra Chaganum cum permagno exercitu mandasse fertur, ut legiones, quibus ob seditiones quasdam et tumultus
10 infensus erat, hostibus proderet. Itaque temere cum barbaris congressus Comentiolus ipse cum suis fugam, quam ante para-
11 verat, capessit, ceteris partim caesis, partim captis ad numerum
12 duodecim milium. Ea victoria Chaganus elatus usque ad Lon-
13 gum murum processit. Verum rex delectu habito milites ad muri
14 defensionem misit. Neque vero Chagani soli filii pestilentia, ut
15 dictum est, mortui sunt sed et Avarum ingens multitudo. Qua
16 de causa barbarus animo aeger domum properans Mauricio significat, si captivos redimere velit, ut in singulos solidum unum
17. 18 pendat. Recusante rege Chaganus semissem postulat. Cum vero

οὐδὲ οὕτως τοὺς ἁλόντας ἠθέλησε πρίασθαι, τὸ μέν τι ἐκ φειδωλίας (ἥττητο γὰρ χρημάτων), τὸ δέ τι τοῖς στρατιώταις μνησικακῶν. ἐκμανεὶς οὖν ὁ βάρβαρος πάντας ξίφεσιν ἐξεθέρισε 19
καὶ ἀνέζευξεν. ἐντεῦθεν πᾶσι μῖσος κατὰ τοῦ βασιλέως ἐφύετο 20 D
5 *καὶ πρὸς πάντων ἐλοιδορεῖτο. ὁ δὲ στρατὸς κατὰ Κομεντιόλου* 21
ἀναφορὰν ἐποιήσατο, ὡς προδόντος ἐν τῷ πολέμῳ τὸ στρατιωτικόν. τοῖς δὲ τὴν ἀναφορὰν ταύτην ποιουμένοις συνῆν καὶ 22
ὁ στρατιώτης Φωκᾶς καὶ ἀναιδῶς τῷ βασιλεῖ διελέγετο, ὡς τυπτηθῆναι παρά τινων. ὁ δὲ βασιλεὺς μὴ προσσχὼν τοῖς κατὰ 23
10 *τοῦ Κομεντιόλου αἰτιάμασιν ἀπράκτους τοὺς αὐτὸν αἰτιωμένους ἀνέπεμψε. λιτανεύοντος οὖν τοῦ βασιλέως στάσις ἠγέρθη παρὰ* 24
τοῦ δήμου, καὶ λίθοι κατ' αὐτοῦ παρά τινων ἠκοντίσθησαν· ὧν ζήτησιν ὁ βασιλεὺς ποιησάμενος καί τινας εὑρηκὼς ἐκόλασε. τῷ γε μὴν υἱῷ αὐτοῦ Θεοδοσίῳ κατηγγύησε τὴν θυγατέρα 25
15 *Γερμανοῦ πατρικίου, τοῦ πατριάρχου Κυριακοῦ τὴν ἐπὶ τῷ*
II 298 *γάμῳ πληρώσαντος τελετήν. μοναχὸς δέ τις ξίφος κατέχων* 26 P II 78 A
γυμνὸν ἀπὸ τοῦ Φόρου μέχρι τῆς Χαλκῆς προελήλυθεν, ἐν

4 *ὅτι διὰ τὴν τῶν αἰχμαλώτων ἀπώλειαν ἐμισήθη ὁ βασιλεὺς καὶ ὁ δῆμος ἐστασίασεν* C (v. ad XIV 13, 21) 14 *ὅτι τῷ υἱῷ αὐτοῦ γυναῖκα ὁ βασιλεὺς συνέζευξεν* (*συνέζ. ὁ β.* E) CE

1 *οὕτως* E*Di*, *οὗτος* A, *τοσούτου* Owp *μέν τι* AEw, *μέντοι* Op 2 *τι* ARw, *τοι* Dp 5 *στρατηγὸς τὸς* D, corr. Dw 6 post *ἐποιήσατο* add. *ὅτι διὰ τὴν τῶν αἰχμαλώτων ἀπώλειαν, ἐκινήθη ὁ βασιλεὺς καὶ ὁ δῆμος ἐστασίασεν* E argumento (v. argum. ad p. 193, 4) perperam in textum recepto (v. de simili vitio ad p. 27, 1. 2) 8 post *ὡς* add. *διὰ τοῦτο καὶ* Rwp, *καὶ διὰ τοῦτο καὶ* DE 9 *προσχὼν* A^s^R^s^wp*Di*, corr. *B-W* 10 *τοῦ* om. Ewp 11 *ἀνέπεμψε* AR, *ἀνέπεμψεν* D, *προέπεμψεν* E, *ἀπέπεμψεν* wp, *ἀπέπεμψε Di* 17 *προσελήλυθεν* p* invitis ARw

ille ne ita quidem milites redimere vellet, partim ex tenacitate (sordidus enim erat), partim militum odio, barbarus furore corre- 19
ptus omnibus ensibus obtruncatis domum rediit. Hinc omnium 20
odia in regem nata, ut a conviciis non temperarent. Exercitus 21
vero Comentiolum proditionis reum fecit; atque ex accusatoribus 22
miles quidam Phocas adeo impudenter cum rege disseruit, ut a quibusdam vapularet. Verum rex repudiata Comentioli delatione 23
accusatores infecta re remisit. Postea cum rex supplicaret, se- 24
ditione populi coorta etiam lapides a nonnullis contra eum iacti sunt; quorum aliquot indagatos supplicio affecit. Theodosio filio 25
Germani patricii filiam despondit, nuptiarum caerimonias patriarcha Cyriaco peragente. Ceterum monachus quidam strictum 26
gladium tenens a Foro usque ad Chalcen progressus Mauricium

27 φόνῳ μαχαίρας λέγων τεθνήξεσθαι τὸν Μαυρίκιον. ὁ δὲ βα-
σιλεὺς τὸ ἐπὶ τοῖς αἰχμαλώτοις ἀνόμημα ἀναλογισάμενος ἱκέτευε
τὸν θεὸν ἐν τῇ παρούσῃ ζωῇ τὴν ὑπὲρ τούτου δίκην ἐκτῖσαι
καὶ πανταχοῦ διεπέμψατο, ἀξιῶν πάντας τοῦτο αἰτεῖν τὸν θεόν.
28 φήμης δὲ κρατούσης ὅτι τοῦ μέλλοντος αὐτὸν διαδέξασθαι ἐκ 5
τοῦ $\overline{\varphi}$ στοιχείου τὸ ὄνομα ἄρχεται, τὸν γαμβρὸν αὐτοῦ Φιλιπ-
29 πικὸν τοῦτον ᾤετο εἶναι. καὶ ἦν αὐτῷ δι' ὑποψίας ὁ ἄνθρωπος
καὶ διομνύμενος μήποτέ τι κατὰ νοῦν τοιοῦτον βαλέσθαι, οὐκ
30 ἔπειθεν. ὄναρ δέ ποτε τῷ βασιλεῖ θεαθὲν τὴν κατὰ τοῦ Φιλιπ-
B 31 πικοῦ ἔλυσεν ὑποψίαν. τὸ δ' ὄναρ· ἐδόκει πλῆθος παρεστάναι 10
πολὺ τῷ ἄνωθεν τῆς Χαλκῆς πύλης τοῦ σωτῆρος Χριστοῦ ἐκτυ-
32 πώματι καὶ καταβοᾶν τοῦ βασιλέως, φωνὴν δ' ἐκ τῆς εἰκόνος
γενέσθαι, παραστῆναι καὶ τὸν Μαυρίκιον, καὶ τὸν αὐτίκα ἀχθῆ-
W III 64 ναι καὶ ἐρωτᾶσθαι ὅποι βούλεται τὴν ἔκτισιν ἀποδοῦναι τοῦ
ἀνομήματος οὗ καὶ εἰς τοὺς αἰχμαλώτους εἰργάσατο, ἐν τῷ νῦν 15
33 αἰῶνι ἢ ἐν τῷ μέλλοντι. τὸν δὲ "ἐνταῦθα" φάναι, "φιλάν-
34 θρωπε δέσποτα". καὶ ἀκοῦσαι φωνῆς λεγούσης "παράδοτε οὖν
35 αὐτὸν παγγενῆ Φωκᾷ τῷ στρατιώτῃ". διυπνισθεὶς τοίνυν ἐκ

9 *περὶ τοῦ ὀνείρου* CE, *οὗ* (sic) *ὁ βασιλεὺς ἐθεάσατο* E (in E hoc argumentum sequitur alterum, quod a nobis adiectum est ad versum 11) 11 *ὅτι ἐδέετο ὁ βασιλεὺς τοῦ θεοῦ ἐνταῦθα δίκας ἐκτῖσαι* (*ἐκτίσαι* CE, v. ad p. 194, 3) CE

3 *τῷ θεῷ* Ewp *ἐκτῖσαι* A, *ἐκτίσαι* Rwp, v. argum. ad p. 194, 11 6 $\overline{\varphi}$ ARwp, *φὶ* B, *φῖ* C*Di* 7 *ᾤετο εἶναι τοῦτον* E(wp) 10 *παρεστᾶναι* Ewp 12 *καὶ* om. E *τοῦ βασιλέως καταβοᾶν* Ewp 13 *παρεστάναι* Ewp post *μαυρίκιον* add. *κελεύουσαν* O 14 *ὅπη* E(wp) 15 *καὶ* om. Rwp 16 *φᾶναι* CEwp 17 *γοῦν* Ewp*Di*

27 brevi periturum esse gladio exclamavit. Mauricius igitur iniuria in captivos reputata deum oravit, ut in hac vita poenas de se sumeret, et quoquoversum misit ab omnibus petens, ut id a deo
28 precibus impetrarent. Cum autem fama esset successurum ei, cuius nomen a φ inciperet, Philippicum generum eum esse ratus ho-
29 minem suspectum habere coepit; atque illi ne deiuranti quidem nihil
30 tale sibi unquam in mentem venisse fidem habuit prius, quam huius-
31 modi somnium videret. Putabat turbam insistere magnam effigiei Christi servatoris nostri, quae supra aeream portam est, et contra
32 regem vociferari, audirique vocem ex imagine imperantem, Mauricius adesset, eumque statim adductum rogari, utro loco facinoris in captivos admissi poenas dare mallet, in hac vita an in futura.
33. 34 Eum dixisse "In hac, humane domine" et audisse vocem, quae
35 diceret: "Tradite ergo eum cum omni familia Phocae militi". Ex-

τῆς ἀγωνίας ὁ βασιλεὺς καὶ τὸν Φιλιππικὸν μετακαλεσάμενος πρῶτα μὲν συγγνώμην ᾔτει, ὡς μάτην ὑπονοῶν κατ' αὐτοῦ, C εἶτα ἤρετο εἰ ἐν τοῖς Ῥωμαϊκοῖς τάγμασιν οἶδε στρατιώτην Φωκᾶν. ὁ δὲ εἰδέναι ἀνταπεκρίνατο καὶ τοῦτον εἶναι τὸν πρὸ μι- 36
5 κροῦ σταλέντα παρὰ τῆς στρατιᾶς, "ὅς σοι καὶ ἰταμώτερον διελέγετο". καὶ ὁ βασιλεὺς οἷός ἐστιν ὁ ἀνὴρ τὴν ἡλικίαν καὶ 37
299 τὸ ἦθος προσήρετο· καὶ ὁ Φιλιππικὸς νέον εἶναι τὸν Φωκᾶν εἶπε, τὸν δὲ τρόπον θρασὺν καὶ δειλόν. πρὸς τοῦτο δὲ ὁ βα- 38 σιλεὺς ἀντεφθέγξατο "εἰ δειλὸς καὶ φονεύς" καὶ διηγήσατο τὸ
10 ὄναρ αὐτῷ. ἐφάνη δὲ τότε καὶ κομήτης ἀστὴρ ὁ λεγόμενος 39 ξιφίας. τῷ γοῦν ἀδελφῷ αὐτοῦ Πέτρῳ στρατηγοῦντι τότε ἐπι- 40 στέλλει ὁ βασιλεὺς διαβάντι τὸν Ἴστρον μετὰ τῆς στρατιᾶς ἐκεῖθεν D αὐτῇ τὰ πρὸς τὴν χρείαν πορίζεσθαι. ἦν δὲ τοῦτο διὰ φιλαρ- 41 γυρίαν οἰκονομούμενον, ἵνα ληιζόμενον τὸ ὁπλιτικὸν ἀποτρέ-
15 φοιτο καὶ αὐτὸς κερδήσοι τὸ στρατιωτικὸν σιτηρέσιον. τοῦτο 42 στάσιν τῇ στρατιᾷ ἐνεποίησε· καὶ αὐτίκα βασιλεὺς παρ' αὐτῶν ὁ Φωκᾶς ἀνηγόρευτο· ἐτύγχανε δ' ὢν ἑκατόνταρχος. ὁ δὲ 43 στρατηγὸς Πέτρος τοῦτο μαθὼν ἔφυγε καὶ τῷ βασιλεῖ αὐτάγγελος τοῦ γεγονότος ἐγένετο. ὁ δὲ καὶ τῶν ἐν τῇ πόλει στα- 44

15 ὅτι στασιάσαν τὸ στρατιωτικὸν τὸν Φωκᾶν ἀνηγόρευσε βασιλέα CE

2 πρῶτον Rwp 2. 3 πρῶτα μὲν — εἶτα] v. ad XIII 23, 11 3 ἤρετο post οἶδεν E ῥωμαίων Ewp οἶδεν Ewp φωκᾶν στρατιώτην Ewp 5 παρὰ τῆς στρατιᾶς om. D Wo lat. ἰταμότερον (sic) A 6 ἐστὶ D ὁ ἀνὴρ om. D 8 δὲ τοῦτο Ewp 13 τὴν om. O 15 κερδήσῃ R(wp), sed v. I p. 384, 3. II p. 245, 19 s. 18 πέτρος om. D αὐτάγγελος τῷ βασιλεῖ O

perrectus ab eo angore rex arcessito Philippico primum veniam petit inanis de eo suspicionis; deinde rogat, num inter Romanas legiones militem noverit Phocam. Ille respondet se nosse atque 36 eum esse, qui non ita multo ante ab exercitu missus insolentius cum ipso collocutus esset. Tum rogat rex, qua sit aetate quo- 37 que ingenio; respondente Philippico Phocam esse iuvenem et ingenio partim audaci partim timido "si" inquit "timidus est, homicida 38 est", eique somnium narrat. Tum cometa quoque apparuit, qui 39 xiphias dicitur. Dehinc fratri Petro exercitum ducenti scribit 40 rex, ut Istro cum copiis traiecto inde commeatum peteret; id 41 consilium ab avaritia est profectum, ut legionibus latrocinio se sustentantibus militaria stipendia lucraretur. Ea res seditionem 42 inter milites concitavit, qui statim Phocam centurionem regem creaverunt. Quo cognito Petrus dux fuga arrepta ipse, quid 43 accidisset, regi nuntiat. Qui orto etiam in urbe tumultu ex re- 44

σιαζόντων ὑπεξῆλθε τῶν ἀνακτόρων καὶ δρόμωνι ἐμβεβηκὼς μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων ἀπέδρα· τὸν δὲ υἱὸν αὐτοῦ Θεοδόσιον πρὸς Χοσρόην ἀπέστειλεν, ἵνα ἀπομνημονεύσας ἐκεῖνος τῶν παρὰ Μαυρικίου γενομένων αὐτῷ κἀκεῖνος εἰς αὐτὸν ?II 79 A 45 *τὰ ἴσα ἐνδείξηται. ὡς δ' ἐγνώσθη τῷ πλήθει ἡ τοῦ βασιλεύ-* 5 *οντος ὑποχώρησις, καὶ τὴν στάσιν ἐπὶ μεῖζον ἦρε καὶ τὸν Μαυρίκιον δυσφημεῖσθαι διὰ τῆς ἀγορᾶς παρεσκεύασεν.*

14 *Ἤδη δὲ τοῦ Φωκᾶ μὴ πόρρω τῆς Βυζαντίδος τυγχάνοντος,* 2 *οἱ τοῦ δήμου τῶν Πρασίνων ἐξῄεσαν εὐφημοῦντες αὐτόν. ὃς σὺν αὐτοῖς ἐν τῷ Ἑβδόμῳ παραγενόμενος, ἐκεῖ παρὰ τοῦ πα-* 10 3 *τριάρχου ταινιοῦται τὴν κεφαλήν· καὶ εἰσελθὼν εἰς τὰ βασίλεια καὶ τὴν γυναῖκα Λεοντίαν Αὐγούσταν εὐθὺς ἀνηγόρευσε τῶν* 4 *δήμων παρόντων· ὅτε διὰ τόπους, ἐν οἷς ἵσταντο, ἀμφιβολίας γενομένης τοῖς Πρασίνοις καὶ τοῖς Βενέτοις, στασιάζειν ἤρξαντο* D III B 5 *κατ' ἀλλήλων. πέμψας δέ τινας ὁ Φωκᾶς κατευνάζειν αὐτοῖς* 15 6 *τὴν στάσιν ἐπεχείρει. ἑνὸς οὖν τῶν σταλέντων τὸν τῶν Βενέτων ὑβρίσαντος δήμαρχον καὶ τοῦτον ὠθήσαντος, μὴ ἐνεγκόντες οἱ τοῦ δήμου τοῦτο ἔκραζον "ἄπιθι, μάθε κατάστασιν, ὁ Μαυρί-* 7 *κιος ζῇ." ἐντεῦθεν ὁ τύραννος εἰς τὸν τοῦ Μαυρικίου φόνον*

8 *βασιλεία Φωκᾶ τοῦ τυράννου* (*τυράνου* D) CD *ὅτι ὁ Φωκᾶς ἐστέφθη παρὰ τοῦ πατριάρχου* CE 19 *ἀναίρεσις Μαυρικίου* (*μαβρικίου* E, v. ad XIV 11, 20) *καὶ παντὸς τοῦ γένους αὐτοῦ* CE

3 *ἵνα* AEwp, *ὡς ἂν* O 4 *παρὰ* A, *ὑπὸ* Rwp 5 *τοῦ βασιλεύοντος ἡ* O 10 *ἐκεῖσε* D 11 *ταινιοῦτον* D, corr. D_w 13 *ὅτε* AO, *τότε* Ewp ante *τόπους* add. *τοὺς* D 16 *ἐπεχείρει τὴν στάσιν* O 18 *ἄπιθε* w*(p) invitis AR, Abi: *Wo* lat. *ἀντίστασιν* D, *τὴν κατάστασιν* D_w ("puto *τὴν κατάστασιν* nisi forte *κατάστασις ἀντὶ σωφροσύνης* ponatur" *Wo*)

gia se subducit et dromone cum uxore et liberis conscenso aufugit; filium vero Theodosium ad Chosroem ablegat, ut comme-
45 morato Mauricii in illum beneficio par sibi gratia referatur. Fuga regis populo cognita et seditio aucta est et Mauricius per forum conviciis proscissus est.

14. Cum PHOCAS non iam procul ab urbe Byzantio abesset, ii qui ex factione Prasina erant ad eum salutandum egrediuntur.
2 Qui cum iis Hebdomum ingressus, ibi a patriarcha diademate
3 ornatur. Inde in regiam se contulit et Leontiam uxorem Augu-
4 stam statim salutat factionibus praesentibus. Vbi inter Prasinos
5 et Venetos de stationibus ortam controversiam Phocas componere
6 volens satellites quosdam misit. De quibus unus cum tribunum Venetorum per contumeliam pepulisset, populus id non ferens
7 exclamat: "Abi, disce modestiam; Mauricius vivit". Inde tyran-

ἠρέθιστο· καὶ ἀχθέντος εἰς τὸν ἐν Χαλκηδόνι τοῦ Εὐτροπίου
λιμένα προανηρέθησαν ἐπ' ὄψεσιν αὐτοῦ οἱ παῖδες αὐτοῦ. ὁ 8
δὲ "δίκαιος εἶ, κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου" ἐφ' ἑκάστῳ
ἐφθέγγετο, γενναίως φέρων τὴν συμφοράν. ἔδειξε δὲ μᾶλλον 9
5 *τὴν τοῦ ἀνδρὸς γενναιότητα καὶ τὸ φέρειν εὐγνωμόνως τὸν*
*πειρασμὸν *** ὕστατον αὐτοῦ παιδίον καὶ ὑπομάζιον· τῆς γὰρ* 10 C
αὐτὸ τιθηνούσης, ἵνα μὴ πάντῃ τὸ γένος τοῦ Μαυρικίου ἐξό-
ληται, ὑποκλεψάσης τὸ τιθηνούμενον, ἀντιδούσης δὲ τὸ οἰκεῖον
πρὸς τὴν σφαγήν, ὁ Μαυρίκιος τὸ ἑαυτοῦ ἐνεχθῆναι ἐζήτησεν.
10 *εἶτα καὶ αὐτὸς μεγαλοψύχως ἐδέξατο τὴν σφαγήν. λέγεται δὲ* 11.12 WIII
καὶ τὸν υἱὸν αὐτοῦ Θεοδόσιον ἀπιόντα πρὸς Χοσρόην κατα-
σχεθῆναι καὶ ἀχθέντα πρὸς Φωκᾶν ἀναιρεθῆναι καὶ τὴν βασί-
λισσαν Κωνσταντῖναν καὶ τὰς τρεῖς θυγατέρας αὐτῆς, καὶ τα- 13
φῆναι ἐν τῷ ναῷ τοῦ ἁγίου Μάμαντος, τῷ πλησίον τοῦ τείχους,
15 *ὃν ἔκτισε Φαρασμάνης ἐκτομίας, ἐπὶ τοῦ κοιτῶνος γεγονὼς*
Ἰουστινιανοῦ. ἐπεγράφησαν δὲ τῷ τάφῳ αὐτῆς τὰ ἡρωελεγεῖα 14 D
ταῦτα·

1 *Χαλχηδόνι* p* invitis ARw *εὐτρόπου* E 3 *εὐθὴς* AD, *εὐθεῖς* R*Di*, *εὐθεῖαι* Dwwp, sed v. Theoph. I p. 290, 5 et Steph. thes. III p. 2289 B 5. 6 *τὸν πειρασμὸν*] *τὴν συμφορὰν* C 6 ***] Lacunam indicat et *τὸν περὶ τὸ* addit *B-W* *καὶ* om. D 7 *τοῦ* om. w*p invitis AR *ἐξόλληται* A, *ἐξόληται* O*Di*, *ἀπόληται* E, *ἀπόλυται* wp, *ἐξόλλυται* coni. *B-W* coll. II p. 533, 22, v. ad XIV 6, 22 11 *καὶ* om. D 13 *κωνσταντίναν* ARwp, corr. *Di*, v. ad XIV 11, 2 16 *ἐπεγράφησαν*] Cf. L. G. p. 144, 22. Cedr. I p. 707, 13. Nicephor. Callist. H. E. XVIII 41. anon. Foersteri p. 14; v. Pregerum l. c. p. 21 *αὐτῆς* A, *αὐτῶν* Rwp, L. G., Cedr.

nus ad caedem Mauricii incitatus est; eoque in Eutropii portum Chalcedonem perducto in conspectu eius liberi sunt occisi. Tum 8 ille, quotiescunque singuli necantur, "Iustus es" inquit "domine et recta sunt iudicia tua", calamitate fortiter lata. Ac genero- 9 sum eius viri animum illud in primis declarat, quod, cum studerent ultimum eius filiolum adhuc lactantem conservare, sapienter tulit; nam cum eum nutrix suffurata, ne Mauricii familia 10 funditus interiret, suum filiolum ad caedem obtulisset, Mauricius oravit, ut suus ipsius offerretur. Deinde et ipse magno animo 11 iugulum carnifici praebuit. Fertur etiam filius eius Theodosius, 12 dum ad Chosroem iret, interceptus perductusque ad Phocam occisus esse necnon regina Constantina cum tribus filiabus, qui 13 in aede divi Mamantis vicina moenibus sepulti sunt, a Pharasmane, eunucho Iustiniani cubiculario, condita. Reginae sepulcro 14 haec elegia est inscripta:

ἅδ' ἐγὼ ἡ τριτάλαινα καὶ ἀμφοτέρων βασιλήων
Τιβερίου θυγάτηρ, Μαυρικίου δὲ δάμαρ,
ἡ πολύπαις βασίλεια καὶ ἣ δείξασα λοχείῃ
ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ 5
δήμου ἀτασθαλίῃ καὶ μανίῃ στρατιῆς. D III
τῆς Ἑκάβης ἔτλην πολὺ χείρονα, τῆς Ἰοκάστης,
αἶ αἶ τῆς Νιόβης ἔμπνοός εἰμι νέκυς.
ναὶ ναὶ τὸν γενέτην· τί μάτην τὰ νεογνὰ ἔκτειναν
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα; 10
ἁμετέροις πετάλοισι κατάσκιος οὐκέτι Ῥώμη·
ῥίζα γὰρ ἐκλάσθη Θρηικίοις ἀνέμοις.

P II 80 A 15 *ἔθανε δὲ Μαυρίκιος ἐτῶν ἑξήκοντα καὶ τριῶν, εἴκοσι βασιλεύσας ἐνιαυτούς.*

1 *Ἥδ'* Preger 3 *καὶ ἡ* omnes codd., corr. Hecker (v. Pregerum l. c.) *δείξασα λοχίῃ* Rwp, *δείξασα λοχείῃ* D, L. G., Nic., *δόξαν λαχοῦσα* A, sed *ν* et *λαχοῦσα* addita sunt in spatio vacuo ab Ar, *δόξαν λελαχοῦσα Di* 5 *τεκέεσσι* B[s]wp*Di*, *τεκέεσι* AR, *τεκ' εσι* (sic) C 6 *δήμου καὶ στρατιῆς λύσσῃ ἀθεσμοτάτῃ* Preger *στρατιᾶς* (sic) A 7. 8 versum 7 post versum 8 ponunt ABCE, v. Pregerum l. c. 7. 8. . . . . | . . . . *αἶ αἶ* cet. C 7 *τῆς ἐκάβης ἔτλην* ARwp*Di*, Cedr., anon. Foersteri, Nic., *ἔτλην τῆς Ἑκάβης* Preger *τ'* add. Dwwp*Di* ante *Ἰοκάστης* probante Pregero 8 om. D *αἶ αἶ* ABCEwp, *αἰαῖ Di*, *ναὶ ναὶ* Preger 9 *ναὶ ναὶ*] *αἰαῖ* Hecker probante Pregero *τί δὲ καὶ τὰ νεογνὰ ἔθυσαν* Preger 10 *ἀνθρώπων κακίης*] *ἀμπλακίης μερόπων* Preger 11 *ἀμέτροις* A, *ἡμετέροις* Rwp, *ἡμετέροισι* Dilthey probante Pregero, corr. *Di* *πετάλοις* A, *πετάλοισιν* C, *πετάλοισι* Rwp*Di*, *κλάδοισι* Preger *κατάσκιος* om. C *οὐ εα* A, *ν* add. ante *εα* Ar, *οὐ νέα Di*, *οὐκέτι* Rwp Preger 12 *θριηκίοις* w*p invitis AR *ἀνέμοις* RDwwp*Di*, *ἀνέμοισιν* AD

Illa ego mille modis regum miseranda duorum
Mauricii coniux, filia Tiberii,
Quae docui regina satis fecundaque mater
Quam sint multorum commoda sceptra ducum
Militis infidi iaceo populique furore
Et mecum coniux progeniesque iacet.
Nae miserae Niobes ego sum vitale cadaver,
Plurane Cisseis, plura Iocasta tulit?
Esto, iure pater; cur pignora parva necantur,
Humani prorsus nescia turba doli?
Non iam Roma meis carpes a frondibus umbram,
Eruta Threïcio stirps aquilone iacet.

15 Mortuus est Mauricius anno aetatis sexagesimo tertio, regni vicesimo.

Φωκᾶ δὲ κρατήσαντος ὁ Ναρσῆς ἀπεστάτησε καὶ κατέσχε 16
τὴν Ἔδεσαν. προστάξει δὲ Φωκᾶ Γερμανὸς τῷ Ναρσῇ ἀντι- 17
μαχεσάμενος συμμαχουμένῳ παρὰ Χοσρόου ἡττήθη· καὶ πλη-
γεὶς μεθ' ἡμέρας τέθνηκε. μετὰ δὲ ταῦτα καταφυγὼν εἰς τὴν 18
5 Ἱερὰν πόλιν Ναρσῆς καὶ παρὰ τοῦ ἀδελφοῦ τοῦ Φωκᾶ τοῦ
μαγίστρου Δομεντζιόλου πίστεις ἐνόρκους λαβὼν πρὸς Φωκᾶν
ἀπεστάλη. ὁ δὲ μηδὲν τοὺς ὅρκους ὑποσταλεὶς πυρὶ αὐτὸν 19
παραδέδωκεν. οὗτος ὁ Ναρσῆς τὸν τοῦ ἁγίου Παντελεήμονος 20
ναὸν ἐδομήσατο καὶ τὸν τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου
10 καὶ Ἀνδρονίκου, καὶ τὸν ἐκεῖ ξενῶνα. οὐ τοῦτον δὲ μόνον, 21 B
ἀλλὰ καὶ τὸν ἀδελφὸν Μαυρικίου Πέτρον ἀνεῖλε, καὶ Γερμανόν,
τὸν πενθερὸν Θεοδοσίου τοῦ υἱοῦ Μαυρικίου, καὶ τὴν θυγατέρα
τοῦ Γερμανοῦ καὶ πᾶσαν τὴν Μαυρικίου συγγένειαν. Φιλιπ- 22
πικὸς δὲ κείρεται κληρικὸς καὶ εἰς τὴν αὐτοῦ μονὴν ἐν Χρυ-
15 σοπόλει διέτριβε. καὶ ἄλλους δὲ πολλοὺς ἔκτεινεν ὁ Φωκᾶς 23
καὶ ποιναῖς ἀπηνέσιν ἐκόλαζε. Κυριακοῦ δὲ τοῦ πατριάρχου 24
ἐκλιπόντος μετὰ ἐνιαυτοὺς ἕνδεκα ἐξότου προεχειρίσθη, πατρι-
άρχης ἐγένετο Θωμᾶς σακελλάριος καὶ τῆς μεγάλης ἐκκλησίας

1 ἀπόστασις Ναρσοῦ, εἶτα προσέλευσις αὐτοῦ (ἀὐ C, inde αὖ wp) καὶ κατάφλεξις C βασιλεία τοῦ Φωκᾶ B 10 περὶ τῶν ἀναιρεθέντων ὑπὸ Φωκᾶ CE 16 περὶ πατριαρχῶν CE

2 ἔδεσσαν ABDi 7 μήτι O 9 τῶν] τὸν D, corr. Dw 10 καὶ Ἀνδρονίκου] v. ad XIII 2, 36 13 πᾶσαν om. D ante μαυρικίου add. τοῦ Ewp, v. Theoph. I p. 296, 3 15 διέτριβε RwpDi, διέτριβεν A, sed v. ad XIII 1, 5 16 ἐκόλαζε A, ἐκόλαζε ∴ (sic) E, ἐκόλασε D, ἐκόλ,ᾱ B, om. C, ἐκόλαζε wp 17 δέκα ἐφ' ἑνὶ O 18 σακελάριος B

Phoca rerum potito Narses ab eo defecit, Edesa occupata 16
et acceptis a Chosroe auxiliis; contra quem iussu Phocae pro- 17
fectus Germanus victus est et post aliquot dies ex vulnere mor-
tuus. Post vero Narses, cum Hierapolim confugisset, iureiurando 18
firmata fide a fratre Phocae Domentziolo magistro ad Phocam
missus est nullaque datae fidei ratione habita concrematus. Hic 19. 20
Narses divi Panteleemonis et sanctorum martyrum Probi, Tarachi,
Andronici aedem atque vicinum hospitium condidit. Neque 21
vero hunc solum sed etiam fratrem Mauricii Petrum et Germa-
num, Theodosii filii illius socerum, una cum filia totamque Mau-
ricii gentem occidit. Philippicus autem clericus factus Chryso- 22
poli in monasterio a se condito vitam egit. Multos praeterea 23
tollebat Phocas et diris suppliciis afficiebat. Cyriaco patriarcha 24
undecimo a designatione anno mortuo, patriarcha factus est
Thomas sacellarius, magnae ecclesiae diaconus. Variis tum

διάκονος. πολυειδῆ μέντοι τότε κακὰ τοὺς Ῥωμαίους κατέλαβεν.
25 *ἐν μὲν γὰρ τῇ ἑῴᾳ Πέρσαι τὴν Συρίαν καὶ Παλαιστίνην καὶ* D III
C 26 *Φοινίκην ὑφ' ἑαυτοὺς ἐποιήσαντο. τὴν Ἀρμενίαν δὲ καὶ Καππαδοκίαν καὶ τὴν Παφλαγονίαν καὶ Γαλατίαν κατέδραμον καὶ*
27 *μέχρι Χαλκηδόνος προήλθοσαν, ἅπαντα ληιζόμενοι. ἐν δὲ τῇ* 5
Εὐρώπῃ Ἄβαροι τὴν Θρᾴκην ἐδῄωσαν, καὶ τὰ Ῥωμαϊκὰ στρα-
28 *τόπεδα, ἃ ἐν ἀμφοτέροις ἦσαν τοῖς τμήμασι, διεφθάρησαν· καὶ ἄλλως δὲ πολλὴ τῶν ἀνθρώπων θνῆσις ἐγένετο καὶ ἀφορία*
29 *καρπῶν καὶ ζῴων φθορὰ ἐκ βαρυτάτων χειμώνων. ἐπὶ πᾶσι δὲ ὁ ἀλάστωρ Φωκᾶς ἐν ἵππων ἁμίλλῃ τῶν δήμων πρός αὐτόν* 10
τι ἀποσκωψάντων, ἐκμανεὶς πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ἠκρωτηρίασεν, ἐνίους μέντοι καὶ κατεπόντωσε, πλείστους δὲ καὶ
D *τῷ ἐπάρχῳ παρέδωκεν, ἵνα κολάσῃ αὐτούς, οἳ ἐν τῷ πραιτω-*
30 *ρίῳ καθείρχθησαν. οἱ δὲ ὄχλοι ὁμοῦ γενόμενοι ἐνέπρησαν τὸ πραιτώριον, καὶ οἱ καθειργμένοι διέφυγον.* 15
31 *Ἑβραῖοι δὲ στασιάσαντες ἐν Ἀντιοχείᾳ κατὰ χριστιανῶν*

2 *ὅπως τοὺς Ῥωμαίους ἐπῆλθον οἱ Πέρσαι τοῦ Φωκᾶ κρατοῦντος* E *ὅρα δεινὰ ταῦτα* B 16 *ὅτι οἱ ἐν Ἀντιοχείᾳ Ἰουδαῖοι ἐπανέστησαν κατὰ τῶν ἐκεῖ χριστιανῶν* C

1 *κακὰ τότε* O 4 *παμφλαγονίαν* E, v. de Boorium ad Theoph. I p. 296, 9. 410, 4 *καὶ γαλατίαν κατέδραμον* om. C 6 *ἄβαροι* AR, Menand. prot. fr. 4, Nicephor. Cpol. ed. de Boor. p. 17, 16. 28. 18, 1. 2. 6. 34, 3 cet., *ἄβαρες* wp; ut Zonaras inter *Ἄβαροι* et *Ἄβαρες*, ita Plutarchus variat inter *Ἴνσομβρες* et *Ἴνσομβροι*, v. *B-W* Fleckeis. annal. a. 1884 p. 114 *Θρᾴκην*] *χώραν* E *στρατεύματα* C, sed *γρ. στρατόπεδα* Cm 7 *ἐφθάρησαν* D 8 *καὶ* Rwp*Di*, om. A 10. 11 *πρὸς αὐτόν τι τῶν δήμων* O 11 *ἐπισκωψάντων* E *μὲν* om. D 12. p. 201, 3 *ἠκροτηρίασε* (sic) A 12 *καὶ* alterum om. D 13 *παρέδωκεν ἵνα κολάσῃ αὐτοὺς* AEwp (*ἐπέτρεψεν . . ὅπως παραδώσῃ αὐτοὺς τῷ θανάτῳ* G. M. p. 562, 16), *κολασθησομένους παρέδωκεν* O 16 *κατὰ χριστιανῶν ἐν ἀντιοχείᾳ* Ewp

25 malis Romani sunt oppressi. Nam in Oriente Persae Syriam et
26 Palaestinam et Phoeniciam subegerunt; in Armeniam, Cappadociam, Paphlagoniam, Galatiam incursiones fecerunt, populabundi
27 Chalcedonem usque progressi. In Europa Avares Thraciam vastarunt, Romanaeque legiones in ambabus partibus perierunt.
28 Absumpsit et pestilentia multos mortales, gravissimaeque tempe-
29 states et frugum et animalium interitum attulerunt. Super haec omnia pestis humani generis Phocas, cum in curriculo equorum nescio quid factiones in eum cavillatae essent, furore percitus multos occidit, multos truncavit, nonnullos in mari demersit, sed plurimos praefecto ad supplicium in praetorio custodiendos tra-
30 didit; quo a multitudine concursante incenso illi diffugerunt.
31 Hebraei mota Antiochiae contra Christianos seditione multos

ἀνεῖλον τῶν Ἀντιοχέων πολλοὺς καὶ αὐτὸν δὲ τὸν πατριάρχην W III 66
τῆς πόλεως Ἀναστάσιον καὶ τὸν νεκρὸν αὐτοῦ κατέκαυσαν ἐν
τῇ ἀγορᾷ. στείλας δὲ ὁ Φωκᾶς οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠκρω- 32
τηρίασε καὶ τῆς πόλεως ἐξεδίωξεν. ὁ μέντοι πατριάρχης Θωμᾶς 33
5 ἐπὶ τρία ἔτη καὶ μῆνας δύο τῆς ἐκκλησίας προστὰς ἐτελεύτησε,
καὶ ἀντεισήχθη Σέργιος, τῆς μεγάλης ἐκκλησίας διάκονος.

Τὴν θυγατέρα δὲ ὁ Φωκᾶς Δομνεντίαν Πρίσκῳ τῷ στρα- 34
τηλάτῃ συνέζευξε καὶ μετὰ τοὺς γάμους ἱππικὸν ἀγῶνα ἄγων P II 81 A
ἐθεάσατο σὺν ταῖς αὐτοῦ εἰκόσι καὶ τοῦ Πρίσκου καὶ τῆς αὐτοῦ
10 γυναικὸς Δομνεντίας ἱσταμένας εἰκόνας, καὶ ἐκμανὴς γεγονὼς
ἐκτμηθῆναι τοὺς δημάρχους ἐκέλευσε. δεηθέντων δὲ τῶν δήμων 35
II 303 μόλις ἀφῆκεν αὐτούς. ἐκ ταύτης οὖν τῆς αἰτίας ὁ Πρίσκος 36
δεδοικὼς περὶ τῇ ζωῇ, ἅμα δὲ καὶ τὴν κατὰ πάντων τοῦ Φωκᾶ
τυραννίδα μισῶν, ἐζήτει καταλῦσαι τὸν τύραννον. ὢν δὲ ὁ 37
15 Φωκᾶς γυναικομανής τε καὶ μέθυσος καὶ ὠμὸς καὶ αἱμοχαρὴς
ἐμισήθη παρὰ πάντων. καὶ στρατηγοῦντος ἐν Ἀφρικῇ καὶ 38
Λιβύῃ Ἡρακλείου, τοῦ πατρὸς τοῦ βασιλεύσαντος Ἡρακλείου,

4 περὶ πατριαρχῶν C 7 ὅτι τὴν θυγατέρα αὐτοῦ ὁ Φωκᾶς κατηγγύησε τῷ στρατηλάτῃ Πρίσκῳ (κρίσπῳ CE, v. ad XIV 14, 43) καὶ ὅπως καὶ (om. E) παρ' ἐκείνου καὶ παρὰ πάντων ἐμισήθη CE 16 ἐπανάστασις τῶν (om. C) ἐν τῇ Ἀφρικῇ στρατευμάτων κατὰ τοῦ Φωκᾶ CE

1 ἀπέκτειναν O 3. 4 ἠκρωτηρίασεν ἐκδιώξας τῆς πόλεως Ewp 4 θωμᾶς Owp, om. AE*Di* 5 ἔτη τρία C 7 δὲ θυγατέρα Ewp Δομεντζίαν appellat filiam Phocae Theoph. I p. 294, 12. 15, sed cum Zonara conspirat Nicephor. Callist. H. E. XVIII 55 10 ante δομ. add. τῆς Ewp 11 ἀποτμηθῆναι Rwp Theoph. I p. 294, 18 14 ἐζήτησε D καταλῦσαι O^s wp*Di*, καταλύσαι AE ὢν Rwp*Di*, ὡν A 16 παρὰ πάντων μεμίσητο O 17 τοῦ πατρὸς om. C ante ἡρακλείου add. μετέπειτα Rwp*Di* ἡ ῥακλείου E

Antiochenses occiderunt atque ipsum patriarcham urbis Anastasium eiusque corpus combusserunt in foro. Eos Phocas partim 32 occidit, partim mutilatos urbe exegit. Thomas patriarcha, cum 33 ecclesiae per triennium et duos menses praefuisset, obiit; in cuius locum suffectus est Sergius, magnae ecclesiae diaconus.

Filiam Domnentiam Prisco duci copiarum despondit, cum- 34 que post nuptias ludis equestribus Prisci uxorisque Domnentiae imagines iuxta suas astare vidisset, furore percitus factionum duces castrari iussit, eosque aegre a factionibus exoratos missos 35 fecit. Ea de causa Priscus vitae suae metuens odioque in 36 tyrannidem Phocae omnia delentem concepto consilia tollendi tyranni iniit; qui cum et in mulierum stupris volutaretur et ebriosus 37 et saevus et sanguinarius esset, in publico erat odio. Itaque sena- 38 tus et ipse dux Priscus legatos ad Heraclium mittunt, eius Heraclii

οἱ τῆς συγκλήτου καὶ αὐτὸς ὁ Πρίσκος ὁ στρατηλάτης διεπέμ-
B *ποντο πρὸς αὐτόν, δεόμενοι ἀπαλλαγῆναι τῆς τυραννίδος Φωκᾶ.*
39 *ἦν δὲ τῷ εἰρημένῳ στρατηγῷ Ἡρακλείῳ ὑποστράτηγος Γρηγο-*
40 *ρᾶς τις τῶν ἐπισήμων. οὗτοι γοῦν ἄμφω συμπνεύσαντες στέλ-*
λουσι κατὰ τοῦ τυράννου τοὺς ἰδίους υἱούς, ὁ μὲν Ἡράκλειος 5
τὸν Ἡράκλειον πολλαῖς ναυσὶ καὶ πλῆθος στρατιωτῶν πλοϊζό-
μενον, ὁ δὲ πατρίκιος Γρηγορᾶς τὸν Νικήταν πεζοποροῦντα
σὺν ἱππόταις πολλοῖς καὶ πεζῇ στρατιᾷ, ἐπὶ συνθήκαις τοῦ τὸν
προκαταλαβόντα τὴν ὑπερκειμένην τῶν πόλεων καὶ καθελόντα
41 *τὸν τύραννον τῆς βασιλείας ἀξιωθήσεσθαι. ταῦτα μαθὼν ὁ* 10
Φωκᾶς τὴν τοῦ Ἡρακλείου μητέρα καὶ τὴν μνηστὴν Εὐδοκίαν,
ἣν ἐξ Ἀφρικῆς ἐμνηστεύσατο, θυγατέρα οὖσαν τοῦ τῆς χώρας
C 42 *ἐκείνης πρωτεύοντος, κατασχὼν κατέκλεισεν ἐν μονῇ. προκατέ-*
λαβε τοίνυν Ἡράκλειος καὶ προσώρμισε τῷ λιμένι τῶν Σοφιῶν
43 *καὶ μάχης συγκροτηθείσης ὑπερέσχε τῶν τοῦ Φωκᾶ. συνήργητο* 15
γὰρ καὶ ὑπὸ τοῦ Κρίσπου τὴν τοῦ ἐπάρχου τότε μετιόντος
44 *ἀρχήν. Φώτιος δὲ τῶν ἐπιφανῶν ὑπάρχων, οὗ τὴν γυναῖκα*
ὁ τύραννος βίᾳ ἐμοίχευσε, σὺν πλήθει στρατιωτῶν καταλαβὼν
τὰ βασίλεια κατέσπασε τοῦ θρόνου τὸν τύραννον (οἱ γὰρ περὶ
45 *αὐτὸν ἀπογνόντες τῶν βασιλείων ὑπανεχώρησαν) καὶ ἀποδύσας* 20

13 *ἧττα τοῦ Φωκᾶ* CE

6 *πλωιζόμενον* DEwp 8 *πεζῇ*] *πολλῇ* D, magno exercitu: *Wo* lat. *τοῦτον* D, *τοῦ τὸν* corr. Dw 12 *τοῦ* RwpDi, om. A, suppl. Ar 13. 14 *προκατέλαβεν οὖν* D 16 *πρίσκου* Dwp, *κρίσπου* AR, v. argum. ad XIV 14, 33 et *Duc* fam. Byz. p. 93 17 *ἐπάρχων* C

patrem, qui imperio potitus est, Africae et Libyae praefectum,
39 orantes, ut se tyrannide Phocae liberaret. Erat Heraclio lega-
40 tus Gregoras, vir illustris. Qui duo inita conspiratione mittunt contra tyrannum suos filios, Heraclius Heraclium navigantem cum classe et magnis copiis, Gregoras patricius Nicetam pedestri itinere cum multis equitibus et peditatu, ea condicione, ut, uter prior metropolim occupasset tyrannumque sustulisset, is imperio
41 potiretur. His cognitis Phocas Heraclii matrem et sponsam Eudociam, quam ille in Africa sibi desponderat, principis Africani
42 filiam, comprehensas monasterio inclusit. Ceterum Heraclius antevertit et in Sophiarum portu appulit commissaque pugna evasit
43 superior, adiuvante Crispo, qui praefecti honore tum fungebatur.
44 Photius vero, unus ex illustribus, cuius uxorem tyrannus vi constuprarat, regia cum multis militibus occupata (nam eius satellites desperata salute regia cesserant) tyrannum solio deturbavit

304 τὴν πορφυρίδα φαιὰν ἐσθῆτα ἐνέδυσε καὶ δέσμιον τῷ Ἡρακλείῳ
παρέστησεν. ὁ δὲ ἰδὼν αὐτὸν ἔφη "οὕτως, ἄθλιε, τὰ τῆς πό- 46
λεως διῴκησας πράγματα;" καὶ ὁ Φωκᾶς ἀπονοίᾳ κάτοχος 47
ὢν ἀπεκρίνατο "σὺ δὲ κρειττόνως μᾶλλον διοικήσεις αὐτά;" D
5 ὀργισθεὶς δὲ ὁ Ἡράκλειος λὰξ ἐκείνῳ ἐνέθορε καὶ ἐκτμηθῆναι 48
προσέταξεν. οἱ μὲν οὖν αὐτίκα αὐτὸν ἀναιρεθῆναι ἱστόρησαν, 49
οἱ δὲ πρότερον αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκκοπῆναί
φασιν, εἶτα καὶ τὰ αἰδοῖα διὰ τὴν ἐκείνου ἀσέλγειαν καὶ ὅτι
πολλῶν ᾔσχυνε γαμετάς, καὶ οὕτως αὐτοῦ τὴν κεφαλὴν ἐκκο-
10 πῆναι, τὸ δὲ δύστηνον σῶμα καυθῆναι κατὰ τὸν Βοῦν· ἔνθα 50
κάμινος ἦν, ὥς λέγεται, ἐκ χαλκοῦ κατεσκευασμένη, σχῆμα βοὸς
ἔχουσα, ἥπερ ἐκ Περγάμου κεκόμιστο, ἐξ ἧς καὶ ὁ τόπος ὠνό-
μαστο. καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἄλλοι τῶν ᾠκειωμένων αὐτῷ 51
ἀνῃρέθησαν.
15 Τῷ μὲν οὖν κακίστῳ Φωκᾷ τοιοῦτον τέλος τῆς τυραννίδος 52
ἐγένετο, ἔτη κατορχησαμένῳ τῆς βασιλείας ὀκτώ. Ἡράκλειος 15 W III 67
δὲ ὑπὸ Σεργίου τοῦ πατριάρχου στεφθεὶς αὐτίκα καὶ τὴν Εὐ- P II 82 A
δοκίαν τὴν μνηστὴν ταινιοῖ, καὶ ἅμα τά τε βασίλεια στέφη καὶ
τοὺς γαμηλίους στεφάνους ἐδέξαντο, ὥστε κατὰ τὴν αὐτὴν ἡμέ-

6 ἀναίρεσις τοῦ (om. AC) Φωκᾶ ACE   10 ὅθεν ὁ τόπος Βοῦς ἐκλήθη E
16 βασιλεία Ἡρακλείου AR

1 αἰσθῆτα A, corr. Ar   2 post αὐτὸν add. comma Ar   7 ἐκκοπῆναι ARwp, L. G. p. 146, 21, Cedr. I p. 713, 5, ἐκτμηθῆναι D
9 κατῄσχυνε Owp   οὕτως AO, οὕτω δὲ Ewp   9 ἐκτμηθῆναι C
11 ἦν κάμινος Ewp   λέγεται om. C   12 περγάνου E   13 ante αὐτοῦ add. δὲ Cwp   ante ἄλλοι add. οἱ BDwp   ὀκειωμένων D, corr. Dw   16 ὀκτώ EA, corr. Ar

direptaque purpura pullam ei vestem induxit et captivum Hera- 45
clio exhibuit. Qui cum ei dixisset: "Ita, miser, rempublicam 46
administrasti?" Phocas ex desperatione "Tu vero" inquit "melius 47
eam administrabis?" Ob quod dictum iratus Heraclius calcibus 48
in eum insiluit et castrari iussit. Alii eum statim occisum esse 49
tradunt, alii manibus prius et pedibus amputatis, virilibus deni-
que ob lasciviam et multorum coniuges adulteratas exsectis,
postremo obtruncatum et infelix corpus in Bove crematum esse,
ubi caminus fuisse perhibetur aereus, forma bovis, Pergamo 50
translatus, unde et loco nomen factum. Sunt et fratres eius alii- 51
que necessarii interfecti.

Phocae igitur pessimi tyrannidis hic fuit exitus, cum im- 52
perio per annos octo insultasset. 15. HERACLIVS autem a Sergio
patriarcha insignibus regiis ornatus statim etiam Eudociae sponsae
diadema imponit; ita simul et regias et nuptiales coronas acce-

2 ραν καὶ βασιλεῖς ἄμφω χρηματίσαι αὐτοὺς καὶ νυμφίους. οἱ
δέ γε Πέρσαι τὴν ἑῴαν κατέτρεχον καὶ τὰς μὲν τῶν χωρῶν
ὑφ' ἑαυτοὺς ἐποιοῦντο, τὰς δὲ ἐληίζοντο· καὶ ἡ Ῥωμαϊκὴ στρατιὰ
προσβάλλουσα τούτοις ἥττητο καὶ διώλλυτο βραχέων τινῶν
3 περισωθέντων φυγῇ. καὶ τὴν Εὐρώπην οἱ Ἄβαροι καὶ οἱ 5
4 Σκύθαι ἠρήμωσαν. διὸ καὶ ἠπόρει ὁ βασιλεὺς Ἡράκλειος ὅ, τι
καὶ δράσει. ἐπισκεψάμενος γὰρ τοὺς στρατιωτικοὺς καταλόγους
B πάνυ τούτους εὗρε βραχεῖς, ἁπάντων σχεδὸν ἐν τοῖς πολέμοις
5 ἀναλωθέντων. ἐκ γὰρ τῶν ἐπὶ Μαυρικίου τὸν Φωκᾶν ἀνα- D II
γορευσάντων εἰς πολλὰς χιλιάδας ἀριθμουμένων δύο μόνοι στρα- 10
6 τιῶται περιλειφθέντες εὑρέθησαν. στρατολογήσας οὖν Κρίσπον
στρατηγὸν Καππαδοκίας προβάλλεται καὶ στέλλει τοῦτον ἐκεῖ.
7 Γίνεται δὲ αὐτῷ ἐκ τῆς Αὐγούστης Εὐδοκίας, ἣν καὶ
8 Φαβίαν ὠνόμασε, θυγάτηρ Ἐπιφανία. εἶτα καὶ υἱὸς ἐτέχθη ὁ
μικρὸς Ἡράκλειος καὶ νέος Κωνσταντῖνος κληθείς, καὶ ἄμφω 15
9 δὲ τὼ παῖδε βασιλικῷ διαδήματι τεταινίωκε. καὶ μετ' ὀλίγον
10 ἡ γαμετὴ αὐτοῦ ἡ Αὐγούστα Εὐδοκία τὸν βίον ἀπέλιπεν. ἐκ-

1 ὅτι πάντοθεν τῇ Ῥωμαίων ἀρχῇ ἐγίνοντο δυστυχήματα C 13 ὅτι δύο παῖδες τῷ Ἡρακλείῳ ἐκ τῆς Αὐγούστης Εὐδοκίας ἐτέχθησαν C 16 τελευτὴ τῆς Αὐγούστας Εὐδοκίας CE 17 σημείωσαι E

1 ἄμφω χρηματίσαι αὐτοὺς καὶ νυμφίους AEwp, καὶ νυμφιους ἄμφω χρηματίσαι αὐτούς R, καὶ νυμφίους χρηματίσαι αὐτοὺς C 9 ἀναγορευσάντων ARp, ἀναδορευσάντων w* 11 περιλειφθέντες RwpDi, περιληφθέντες A, v. ad XIV 16, 3. 5 εὑρέθησαν περιλειφθέντες E 14 θυγάτριον D, filiolam: Wo lat., θυγατέρα E ἐπὶ φανέα E 16 δὲ om. B post παῖδε add. τούτω Owp 17 ἀπέλιπεν RwpDi, ἀπέλιπε A, v. ad XIII 1, 5

2 perunt, eodem die et reges et mariti appellati. At Persae orientales provincias incursantes, alias subigebant, alias praedabantur; Romanaeque legiones ab iis victae caesaeque erant, paucis fuga
3. 4 elapsis. Europam Avares et Scythae vastaverunt. Quibus de rebus rex dubitabat, quid sibi esset faciendum. Nam in militaribus catalogis paucos omnino reperiebat, paene omnibus bello ab-
5 sumptis. Ex multis enim eorum milibus, qui sub Mauricio Phocam imperatorem consalutarant, duo soli milites reliqui sunt inventi.
6 Verum delectu acto Crispum cum imperio in Cappadociam mittit.
7 Ex Eudocia Augusta, quam et Fabiam nominavit, filiam sus-
8 cepit Epiphaniam, deinde filium quoque Heraclium minorem, qui et minor Constantinus dictus est; ambos pueros diademate orna-
9. 10 vit. Neque multo post coniux eius Eudocia moritur. Cuius funus cum ornatu regio per forum efferretur, puella quaedam barbara prospectans sputum in feretrum, in quo Augusta efferebatur, im-

φερομένου δὲ τοῦ ταύτης νεκροῦ βασιλικῶς διὰ τῆς ἀγορᾶς κόρη τις προκύπτουσα βάρβαρος τυχαίως ἀπέπτυσε, καὶ τὸ C πτύσμα εἰς τὴν κλίνην, δι' ἧς ἐξεφέρετο ἡ Αὐγούστα, κατήνεκτο· καὶ συλληφθεῖσα ἡ κόρη ἐκαύθη, προσενεχθεῖσα τῇ θα-
5 νούσῃ λίαν οἰκτρὸν ἐπιτάφιον. ὁ δέ γε Ἡράκλειος ἔγημε Μαρ- 11 τῖναν τὴν ἀδελφόπαιδα καὶ Αὐγούσταν αὐτὴν ἀνηγόρευσε.

Τοῦ μέντοι Χοσρόου καὶ τῶν Περσῶν ἀκρατῶς φερομένων 12 καὶ πάντα ληλατούντων, πρέσβεις ὁ βασιλεὺς πρὸς αὐτὸν ἔστειλε, κόρον λαβεῖν ποτε τῆς τῶν ἀνθρώπων φθορᾶς ἀξιῶν καὶ
10 σπείσασθαι ἐπὶ συνθήκαις ἐτησίων δασμῶν. ὁ δὲ τὴν πρεσβείαν οὐ προσήκατο. πάλιν οὖν ἑτέρα πρεσβεία πρὸς αὐτὸν 13 εἰρήνην ἐξαιτουμένη. ὁ δὲ Πέρσης ὑπερηφάνους καὶ βλασφή- 14 D μους τὰς ἀποκρίσεις πεποίηκε, λέγων μὴ ἄν ποτε φείσασθαι τῶν χριστιανῶν, εἰ μὴ τὸν ἐσταυρωμένον ἀρνήσαιντο καὶ σε-
15 βασθῶσι τὸν ἥλιον. ἀπογνοὺς οὖν τὴν εἰρήνην ὁ βασιλεὺς ἐπι- 15 στρατεῦσαι διενοεῖτο κατὰ Περσῶν· διὸ καὶ ἔσπευδε θέσθαι 16 πρὸς τὸν Χαγάνον σπονδάς, μὴ ἀφιστάμενον τοῦ τὴν Θρᾴκην ληΐζεσθαι. στείλας τοίνυν πρὸς αὐτὸν εἰρήνην ᾔτει· καὶ ὁ βάρ- 17
306 βαρος οὐκ ἀνένευσεν. ἡσθεὶς οὖν ὁ βασιλεὺς ἐξῆλθε τῆς πό- 18

5 ὅτι τὴν ἰδίαν ἀνεψιὰν ὁ Ἡράκλειος ἔγημεν C 7 ὅτι διεπρεσβεύσατο (ἐπρεσβεύσατο E) πρὸς Χοσρόην ὁ (om. C) Ἡράκλειος περὶ εἰρήνης, ὁ δὲ τὴν πρεσβείαν ἀπώσατο CE

4 ἐκαύθη AEwp, πυρὶ παρεδόθη O 5 μαρτίναν ARwp, corr. *Di* 8 ληλαλούντων D ἀπέστειλε D 11 post ἑτέρα add. ex coniectura Wolfii στέλλεται wp, sed v. XVIII 19, 3 14 ἀρνήσαιντο A, ἀρνήσωνται Ewp, ἀρνήσονται R, de optativo et coniunctivo inter se coniunctis v. ad XIV 10, 11 16 καὶ om. D 18 τοίνυν καὶ στείλας D

prudens deiecit; ob quod factum comprehensa et cremata reginae defunctae infeliciter parentavit. Heraclius post eam fratris sui 11 filiam Martinam ducit atque Augustam salutat.

Cum autem Chosroes et Persae impotenter grassantes omnia 12 popularentur, rex per legatos ab eo petiit, ut tandem interitu hominum satiatus pacem faceret annuaque tributa acciperet. Ea 13 legatione repudiata mittit alteram pacemque petit. Cui Persa 14 superbe contumelioseque respondit se nunquam temperaturum Christianis, nisi cruci fixum infitiati solem adorarent. Rex igitur 15 pace desperata bello Persas invadere constituit et cum Chagano, 16 qui Thraciam continenter infestabat, pacem propere facere; qua 17 per legatos petita barbarus non abnuit. Ea re delectatus rex 18 urbem egressus extra Longum murum cum regia magnificentia

λεως καὶ ἔξω τοῦ Μακροῦ τείχους ηὐλίσατο μετὰ τῆς βασιλικῆς
πολυτελείας καὶ δορυφορίας καὶ χρημάτων πολλῶν, ἃ τῷ Χα-
19 *γάνῳ δῶρα ἐκόμιζεν. ὁ δὲ βάρβαρος ἀλογήσας τῶν ὅρκων*
20 *τε καὶ τῶν συνθηκῶν ὥρμησε τὸν βασιλέα συσχεῖν. ἀλλὰ*
P II 83 A *τούτου μὲν οὐκ ἐπέτυχεν (ἔφθη γὰρ διαδράς), τὴν μέντοι βασι-* 5
λικὴν ἀποσκευὴν καὶ τὴν δορυφορίαν, ἀλλὰ μὴν καὶ τὰ χρή-
ματα καὶ δορυαλώτων χιλιάδας πολλὰς κατὰ πᾶσαν ἄδειαν
21 *εἰληφὼς ὑπέστρεψεν. αὖθις οὖν ὁ Ἡράκλειος πρεσβείαν ἔθετο*
πρὸς αὐτόν, ἐπεγκαλῶν αὐτῷ ἀπιστίαν καὶ πρὸς εἰρήνην αὐτὸν
22 *ἐφελκόμενος· ὁ δὲ σπένδεται. καὶ ὁ βασιλεὺς τῆς βασιλευούσης* 10
ἀπάρας τῶν πόλεων ἀφίκετο εἰς Καισάρειαν, ἔνθα καὶ ὁ Κρίσπος
23 *ἦν στρατηγῶν· οὗ νοσοῦντος ἢ τοῦτο προσποιουμένου πρὸς*
W III 68 *αὐτὸν ἀπῄει ὁ βασιλεύς, ἐπισκεψόμενος καὶ βουλευσόμενος περὶ*
24 *τῶν πρακτέων. ὁ δὲ αὐτὸν ὀλιγώρως ἐδέχετο, μήτε προσυπ-*
B *αντῶν μήτε μὴν τῆς κλίνης ἐξανιστάμενος κἂν ταῖς ὁμιλίαις* 15
25 *ἀλαζονικώτερόν πως διατιθέμενος. Ἡράκλειος δὲ συνίει μὲν*
τὸ γινόμενον καὶ καταφρονούμενος ἤχθετο, ὑπεκρίνετο δὲ μήτ'

8 *ὅτι ἐσπείσατο ὁ Χαγάνος* CE 12 *περὶ Κρίσπου. καὶ ὅπως διετέθη πρὸς τὸν Ἡράκλειον* CE

1. 2 *ηὐλίσατο* post *δορυφορίας* O 2. 3 *καὶ χρήματα δὲ πολλὰ καὶ* (om. CD) *τῷ χαγάνῳ ἐκόμιζεν* O 4 *συγχεῖν* D, corr. Dw 5 *οὐκ ἐπέτυχεν* AEwp, *διημάρτηκεν* O post *γὰρ* add. *ὁ αὐτοκράτωρ* Owp *διαδιδράσκων* E 6 *ἀποσκευὴν* A, *ἅπασαν ἀποσκευὴν* Ewp, *ἀποσκευὴν ἅπασαν* O 7 *δοριαλώτων Di*, v. ad XIII 8, 3 8 *ἔθετο* ARwp, *ἔπεμψεν* D 12 *τούτου* C 13 ante *καὶ* add. *τε* Rwp 14 *προυπαντῶν* Ewp 16 *διακείμενος* Ewp *συνήει* w*p invitis AR, v. XV 29, 12 16—p. 207, 1. *συνίει . . τὸ γινόμενον καὶ καταφρονούμενος ἤχθετο, ὑπεκρίνετο δὲ μήτ' ἄχθεσθαι κτλ.*] De his chiasmis v. ad XIII 2, 6

et comitatu castra posuit multisque muneribus Chagano offeren-
19 dis. At barbarus spreto iureiurando et foedore regem compre-
20 hendere studuit. Sed eo conatu frustratus (nam iam aufugerat),
regium tamen instrumentum et comitatum, pecuniam quoque et
multa captivorum milia otiose diripuit domumque est reversus.
21 Heraclius igitur denuo legatis ad illum missis de eius perfidia
22 conqueritur pacemque ab eo studet impetrare. Qua facta rex
regia urbe digressus Caesaream, ubi Crispus dux agebat, pervenit
23 eumque vel aegrotantem vel morbum simulantem convenit, de
24 rebus gerendis cum eo deliberaturus. Sed ab eo negligenter ex-
cipitur; nam neque obviam progressus est neque e lectulo sur-
25 rexit, in colloquiis etiam arrogantioribus verbis usus. Heraclius,
etsi quid ille ageret intellegebat et sui contemptum iniquo fere-

ἄχθεσθαι μήτε συνιέναι τῆς ὀλιγωρίας τοῦ Κρίσπου τῆς κατ'
αὐτοῦ. ἐν τούτῳ ἀγγέλλεται αὐτῷ ἡ Αὐγούστα τεκοῦσα υἱόν. 26
καὶ τὰ μὲν στρατεύματα τῷ Κρίσπῳ καταλελοίπει, αὐτὸς δ' 27
ἐπανῆλθεν εἰς τὸ Βυζάντιον. τοῦ Νικήτα μέντοι τοῦ υἱοῦ τοῦ 28
5 πατρικίου Γρηγορᾶ εἰσεληλυθότος εἰς τὴν τῶν πόλεων βασι-
λεύουσαν, ὁ βασιλεὺς αὐτὸν ἐν τιμῇ μεγάλῃ πεποίητο, ἀδελφὸν
αὐτὸν ὀνομάζων. ἐπανέζευξε δὲ καὶ ὁ Κρίσπος ἐκ τῆς στρα- 29
τείας. συλλόγου τοίνυν τῆς συγκλήτου γενομένου καὶ τοῦ πα- 30
307 τριάρχου παρόντος, ὡς μέλλοντος βαπτίσαι τὸν τοῦ βασιλέως
10 υἱόν, φησὶ πρὸς τοὺς παρόντας ὁ βασιλεύς "ὁ ὑβρίζων τὸν C
βασιλέα τίνος ἐστὶν ἄξιος;" οἱ δὲ ἀπεκρίναντο "οὐ ζῆν ἐστιν 31
ἄξιος· πάσης γὰρ φιλανθρωπίας ἑαυτὸν ἀνάξιον ἔθετο". καὶ 32
ὁ βασιλεὺς τὰ παρὰ τοῦ Κρίσπου κἀκείνου παρόντος κατέλεγεν·
εἶτα πρὸς ἐκεῖνον ἐπιστραφεὶς ἔφη "ὃς γαμβρὸν οὐκ ἐποίησας, 33
15 οὐδὲ φίλον ἂν ποιήσεις ποτέ". ἐκέλευσεν οὖν αὐτὸν κληρικὸν
γενέσθαι. ἐκ δὲ Μαρτίνης τῆς ἀνεψιᾶς αὐτοῦ ἔσχε δύο υἱούς, 34
Φάβιον, ὃν καὶ Ἡρακλωνᾶν ὠνόμασε, καὶ Δαβὶδ τὸν λοιπόν.

Τοῦ δὲ Χοσρόου πάντα ληιζομένου καὶ ἀφανίζοντος ὑφ' 35

4 περὶ τοῦ Νικήτα E 15 ὅτι τὸν Κρίσπον κληρικὸν καρῆναι προσ-
έταξεν C

3 δὲ B[s]Dwp 5 γρηγορᾶ πατρικίου Ewp 7 ἐκ τῆς στρατείας
RwpDi, ἐκ τῆς στρατιᾶς D, τῆς ἐκ στρατείας AE 10. 11 τὸν βα-
σιλέα ὑβρίζων D 13 περὶ CDi 14 ante ὃς add. ὅσα w* in-
vitis AR, del. p 15 ποιήσης AR, ποιήσεις wp, ποιήσειας Nice-
phor. CPol. p. 6, 21 de Boor, G. M. p. 565, 4, L. G. p. 148, 9,
sed v. I p. 7, 16. 8, 19. 9, 4. 291, 17 cet. 16 δύο ἔσχεν D

bat animo, tamen utrumque dissimulat. Interea ei nuntiatur 26
Augusta peperisse filium; relictis igitur Crispo legionibus ipse 27
Byzantium redit. Nicetam, patricii Gregorae filium, urbem regiam 28
ingressum honorifice rex excipit fratremque appellat. Est et 29
Crispus ab expeditione reversus. Cum baptizandus esset regis 30
filius, senatu convocato et patriarcha praesente rex eos, qui ade-
rant, rogat "Qua poena dignus est qui regi contumeliam fecit?"
Tum illi "Vita indignus est" inquiunt "qui omnem clementiae 31
spem sibi ultro praecidit". Atque rex, quid Crispus egisset, illo 32
etiam praesente, commemorat. Inde ad eum conversus "Qui te 33
generum" inquit "non praestitisti, neque amicum unquam prae-
stabis". Clericum igitur eum fieri iussit. E Martina vero, fratris 34
filia, duos suscepit filios, Fabium, quem et Heraclonam vocavit,
et Davidem.

Cum autem Chosroes omnia praedaretur et deleret et Pa- 35
laestina subacta Hierosolyma quoque expugnasset, fertur infinita

ἑαυτὸν δὲ καὶ τὴν Παλαιστίνην πεποιηκότος καὶ τὴν Ἱερουσαλὴμ
D πολιορκίᾳ ἑλόντος, λέγεται ἄπειρόν τι πλῆθος ἀναιρεθῆναι χρι-
36 στιανῶν. ἐξωνούμενοι γὰρ αὐτοὺς εὐώνως οἱ Ἰουδαῖοι ἐφό-
νευον, ὧν περὶ μυριάδας ἐννέα φασὶ συγκορυφοῦσθαι τὸν ἀρι-
37 θμόν. τὸν δέ γε πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ 5
καὶ τὰ τίμια τοῦ σταυροῦ ξύλα οἱ Πέρσαι λαβόντες εἰς Περσίδα
38 ἤγαγον. ἀπορῶν οὖν ὁ βασιλεὺς ἀναλόγου τοῖς ἐναντίοις στρα-
τεύματος, πρὸς δὲ καὶ χρημάτων, ἄργυρον μὲν καὶ χρυσὸν
ἐδανείσατο ἔκ τε τῆς μεγάλης ἐκκλησίας καὶ τῶν λοιπῶν εὐαγῶν
39 οἴκων καὶ διὰ τούτων ἔκοψε νόμισμα. λαὸν δ' ἐκ τῶν θε- 10
μάτων συνέλεγε καὶ τούτους πρὸς πολεμικὴν ἐμπειρίαν ἐγύμναζε
40 καὶ συμμάχους προσεκαλέσατο. ἐξελθὼν οὖν μετὰ τὴν ἑορτὴν
P II 84 A τοῦ πάσχα τῆς πόλεως καὶ προσβαλὼν Σαρβάρῳ τῷ τοῦ Χοσ-
ρόου ἀρχισατράπῃ μετὰ βαρείας δυνάμεως κατὰ Ῥωμαίων
σταλέντι, τρέπεται τοῦτον καὶ τὰ στρατεύματα αὐτοῦ συγκόπτει 15
καὶ μαχαίρας ἔργον ποιεῖ.

16 Ἐν τούτοις παρασπονδήσας ὁ Χαγάνος ἐπῆλθε τῇ Βυ- D
ζαντίδι, καὶ πρὸ τοῦ τείχους αἱ δυνάμεις αὐτοῦ ἐστρατοπεδεύ-
2 σαντο, δῃοῦσαι σύμπαντα τὰ ἐκτός. ὅθεν οἵ τε τῆς πόλεως καὶ
ὁ πατριάρχης καὶ ὁ πατρίκιος Βῶνος (τούτους γὰρ ἄμφω κηδε- 20

3 περὶ τῶν ὑπὸ τῶν Ἰουδαίων ἀναιρεθέντων χριστιανῶν. καὶ περὶ τῶν τιμίων ξύλων καὶ τοῦ πατριάρχου CE 13 ὅτι τῷ Σαρβάρῳ συμπλακεὶς ὁ Ἡράκλειος ἐνίκησεν C 17 ὅτι παραβὰς τὰς συνθήκας ὁ Χαγάνος ἐπῆλθε τῇ πόλει, καὶ ἡττηθεὶς ἔφυγεν (ἔφυγε E) CE

3 γὰρ om. C 7 ἀπήγαγον Rwp οὖν] τοίνυν D 9 μεγάλης om. D 13 | σαβάρω A, (tum recte σάρβαρον praebet), σαρβάρῳ Rwp*Di* 18 πρὸς *Di* (errore, ut videtur) 20 ante βῶνος add. ὁ Ewp

36 quaedam Christianorum multitudo esse interfecta. Nam Iudaei eos vili pretio commercati necabant; quorum summa fuisse me-
37 moratur ad nonaginta milia. Patriarcham autem Hierosolymorum sanctae urbis et pretiosa crucis ligna Persae secum in Persidem
38 portaverunt. Rex igitur cum exercitum hostibus parem non haberet ac pecuniae inopia laboraret, argentum et aurum ex magna
39 ecclesia et aliis sacris aedibus mutuatus numos inde cudit, collectumque ex provinciis populum militari disciplina exercet ac
40 socios arcessit. Et post festum Paschatis Sarbarum, Chosroae archisatrapam, cum magnis copiis contra Romanos missum profligat eiusque exercitum trucidat.

16. Interea Chaganus rupto foedere aggreditur Byzantium castris legionum ante moenia positis et quicquid extra urbem
2 erat incendit. Unde cives et patriarcha et patricius Bonus (eos

μόνας τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου καταλελοίπει καὶ τῶν κοινῶν πραγμάτων διοικητὰς ἀποδημῶν ὁ Ἡράκλειος) ἑτοιμασάμενοι πλῆθος ἀνδρῶν γενναίων κατὰ τῶν βαρβάρων ἀφροντιστούντων, ὡς μὴ παρόντος στρατεύματος, ἀπροσδοκήτως ἐξέ-
5 πεμψαν καὶ πολλὰς αὐτῶν χιλιάδας διέφθειραν. οἱ δέ γε 3 B περιλειφθέντες αἰσχρῶς φεύγοντες ἐς ἤθη τὰ ἑαυτῶν ὑπενόστησαν.

Ἡράκλειος δὲ πάλιν ἑτέρῳ σατράπῃ μετὰ τριάκοντα χιλιάδων 4 κατ' αὐτοῦ πεμφθέντι παρὰ Χοσρόου συμμίξας, καὶ τοῦτον
10 ἐτρέψατο καὶ τοὺς μετ' αὐτοῦ σχεδόν τι πάντας Ἄιδι προΐαψεν. οἱ δέ γε περιλειφθέντες ὑποστρέψαντες καὶ τὰ συμβεβηκότα 5 W III 69 τοῖς ὁμογενέσιν ἀπηγγελκότες, καὶ πρῴην διὰ μίσους ἄγοντας τὸν Χοσρόην μᾶλλον αὐτοὺς μισεῖν αὐτὸν ἐξηρέθισαν. Ἡράκλειος 6 δὲ καὶ εἰς τὴν ἐνδοτέρω Περσίδα εἰσέβαλε καὶ τάς τε
15 πόλεις καθῄρει καὶ τὰ τεμένη τοῦ Πυρὸς αὐτῷ τῷ τιμωμένῳ παρ' αὐτοῖς συνδιέφθειρε. μαθὼν δὲ ἀνῃρημένους οὓς ἔστειλε 7 πρεσβευτάς, ὠργίσθη καὶ οὐκ ἐφείδετο ἀναιρῶν τε καὶ πυρ- C πολῶν καὶ καταστρέφων τὰ ἐν ποσίν. ὁ μέντοι Χοσρόης, τοῦ 8 βασιλέως τὴν Περσίδα ληιζομένου καὶ κατατρέχοντος, εἰς Κτη-

8 ὅσα ὁ Ἡράκλειος τοῖς (τοὺς E) Πέρσαις μαχόμενος κατώρθωσεν CE

1 κωνσταντίνου om. C 2 ἀποδημῶν ὁ Ἡράκλειος om. p* 4 παρόντος RwpDi, παρόντως A 6. 11 περιλειφθέντες RwpDi, περιληφθέντες A, v. ad XIV 15, 5 6 εἰς Di invitis ARwp, v. ad XIV 12, 14 10 ἄϊδι C(wpDi), v. Hom. Il. I 3 12 μίσος D ἄγοντες Ewp 13 ἐξηρέθησαν D, corr. Dw 15 αὐτῶ A, αὐτῶ τῶ E B-W, αὐτῷ ἐκείνῳ τῷ OwpDi 19 καταστρέφοντος D

enim ambos Heraclius discedens filii sui Constantini curatores et publicarum rerum administratores reliquerat) multos viros fortes in barbaros, ut absente exercitu securos, ex improviso immiserunt eorumque multa milia occiderunt. Qui superfuere, turpi fuga 3 se in suas sedes receperunt.

Heraclius denuo alium quendam satrapam cum triginta 4 hominum milibus contra se missum a Chosroe profligavit et milites eius paene omnes Orco demisit. Eius exercitus reliquiae 5 reversae domum nuntiata clade suos populares iam ante Chosroae infensos ad maius etiam tyranni odium concitarunt. Heraclius 6 vero etiam in Persiam interiorem penetravit, urbes evertit, templa una cum Igni, qui ab illis colitur, delevit; cognitaque legatorum 7 suorum caede iratus ferro atque incendio in obvia omnia grassatus est. Cum autem rex incursione facta Persidem diriperet, 8

9 σιφῶντα κατέφυγε. διαβληθέντος δὲ πρὸς αὐτὸν τοῦ ἀρχισατράπου Σαρβάρου ὡς τὰ τῶν Ῥωμαίων φρονοῦντος, αὐτῷ δὲ λοιδορουμένου, ἐπιστέλλει τῷ ὑποστρατήγῳ αὐτοῦ τὸν Σάρβαρον
10 ἀνελεῖν. τοῦ δὲ τὴν ἐπιστολὴν ταύτην κομίζοντος ἐν τῷ ἀπιέναι συλληφθέντος παρὰ Ῥωμαίων καὶ ἀπαχθέντος εἰς τὸ Βυζάντιον, 5 γνόντες τὰ ἐν αὐτῇ γεγραμμένα οἱ τῶν κοινῶν πραγμάτων D διοικηταὶ στέλλουσι ταύτην καὶ τὸν αὐτῆς κομιστὴν πρὸς τὸν
11 Σάρβαρον· καὶ ὃς τὰ γεγραμμένα ἀναγνοὺς καὶ τοῦ γραμμα- D τοφόρου πυθόμενος καὶ μαθὼν τὴν γνώμην Χοσρόου, ἑτέραν πλάττει ἐπιστολήν, κελεύουσαν αὐτόν τε καὶ πολλοὺς σατράπας 10
12 ἀναιρεθῆναι καὶ τοὺς τοῦ στρατεύματος προύχοντας. πείθει δὲ καὶ τὸν τὴν ἐπιστολὴν τοῦ Χοσρόου κομίσαντα λέγειν ὅτι
13 παρὰ Χοσρόου ταύτην ἔλαβε τὴν ἐπιστολήν. συναγαγὼν οὖν τοὺς τῶν ταγμάτων ἡγεμονεύοντας ἐν ἐπηκόῳ πάντων τὴν ἐπι-
14 στολὴν ἀναγνωσθῆναι πεποίηκε. θυμοῦ τοίνυν πλησθέντες οἱ 15 τῶν ταγμάτων ἐξάρχοντες κοινῇ συνέθεντο τῷ βασιλεῖ προσελθεῖν.
15 Ἐπὶ τούτοις καὶ ἕτερόν τι συμβέβηκεν, ὃ τὸν Χοσρόην

1 ὅπως ὁ ἀρχισατράπης Σάρβαρος καὶ οἱ μετ' αὐτοῦ τῷ βασιλεῖ προσεχώρησαν CE 17 ὅπως παρὰ τοῦ υἱοῦ αὐτοῦ ὁ Χοσρόης καθῃρέθη τῆς βασιλείας καὶ ἀνῃρέθη CE

2 τῶν om. D 3 ante τῷ add. αὐτῷ C 4 κομίξοντος (sic) A 7 ταύτην καὶ Awp (*Wo* igitur coniectura invenit scripturam rectam), καὶ ταύτην E, κἀκείνην O 8 τοῦ γρ. — 9 ἑτέραν om. E 9 πυθομένου B χοσρόον D, corr. D_w 10 κελεύουσαν — 13 ἐπιστολήν om. D *Wo* lat. 10 post πολλοὺς add. ἑτέρους BCEwp post σατράπας add. καὶ χιλιάρχους BCEwp 11 τοῦ Rwp*Di*, om. A 14 ante τοὺς add. πάντας C τῶν om. D ἡγεμόνας O ὑπηκόῳ | C πάντων om. O 15 πεποίηκε Rwp*Di*, πεποίηκεν A, v. ad XIII 1, 5 16 βασιλεῖ προσελθεῖν AEwp, τῶν ῥωμαίων βασιλεῖ προσελθεῖν CD, τῶν ῥωμαίων προσελθεῖν βασιλεῖ B 17 ὃς E

9 Chosroes Ctesiphontem confugit, delatoque Sarbaro archisatrapa, quasi cum Romanis colluderet et ipsi conviciaretur, legato illius
10 scribit, ut Sarbarum tollat. Sed tabellario in itinere a Romanis excepto ac Byzantium perducto, magistratus lectas litteras una
11 cum tabellario ad Sarbarum mittunt. Is lecta epistola et Chosroae sententia e tabellario cognita alteram epistolam confingit, qua Chosroes imperet, ut et ipse Sarbarus et multi satrapae et
12 exercitus duces necentur. Tum postquam Chosroae tabellario persuasit, ut hanc epistolam affirmaret sibi datam esse a Chosroe,
13 eam convocatis tribunis et centurionibus coram omnibus recitan-
14 dam curat. Unde duces iracundia inflammati communi consilio ad regem se conferre statuerunt.
15 Post haec etiam alterum quiddam accidit ad Chosroae inter-

διώλεσε· παῖδας γὰρ ἔχων πολλούς, τὸν ἁπάντων πρεσβύτερον
Σιρόην παραγκωνιζόμενος ἠβουλήθη διάδοχον τῆς ἀρχῆς ἕτερον
ποιήσασθαι, καλούμενον Μερδασάν. ὃ γνοὺς ὁ Σιρόης καί 16
τινας τῶν σατραπῶν ὑποποιησάμενος, ἐπιτίθεται τῷ πατρί,
5 δεσμεῖ τε τοῦτον καὶ χρυσὸν αὐτῷ πολὺν παρατίθησι καὶ λίθων P II 85 A
τῶν πολυτίμων σωρούς, "διὰ ταῦτα" λέγων "Ῥωμαίοις τοὺς 17
Πέρσας ἐξεπολέμωσας καὶ ἀλλήλοις μάχεσθαι καὶ διαφθείρεσθαι
κατηνάγκαζες· ἀπόλαυε τοίνυν τῶν ἐφετῶν σοι." εἶτα τὸν υἱὸν 18
αὐτοῦ Μερδασάν, ᾧ τὴν τῶν Περσῶν ἀνετίθει ἀρχήν, ἀνεῖλε
10 πρὸ ὀφθαλμῶν αὐτοῦ, ἀλλὰ μὴν καὶ τοὺς ἄλλους παῖδας αὐτοῦ
καὶ ἐπὶ πᾶσι κἀκεῖνον. ἐγκρατὴς οὖν τῆς τῶν Περσῶν ἀρχῆς 19
γεγονὼς διαπέμπεται πρὸς Ἡράκλειον, τὸν τοῦ Χοσρόου ὄλε-
θρον αὐτῷ εὐαγγελιζόμενος· καὶ σπεισάμενος αὐτῷ πάντας τοὺς 20
ἐν Περσίδι αἰχμαλώτους Ῥωμαίους ἐλευθέρους ἀφῆκε καὶ τὰ
310 τίμια ξύλα τοῦ σωτηρίου σταυροῦ αὐτῷ ἀποδέδωκε καὶ τὸν
πατριάρχην τῆς Ἱερουσαλὴμ Ζαχαρίαν. καὶ ὁ βασιλεὺς αὖθις 21 B
πάντας τοὺς παρὰ Ῥωμαίων κατεχομένους Πέρσας ἀπελθεῖν
ἀφῆκε πρὸς τοὺς οἰκείους. ταῦτα ἐν ἓξ ἔτεσιν ἀνύσας Ἡρά- 22
κλειος καὶ ἀποκαταστήσας τῇ Ἱερουσαλὴμ τὰ τίμια ξύλα καὶ

11 ὅτι ὁ Σιρόης βασιλεύσας ἐσπείσατο Ῥωμαίοις CE

1 τὸν RwpDi, τῶν A πρεσβύτερον] De comparativo v. ad XIII 3, 6 2 σιροὴν E (tum recte) 2. 3 ποιήσασθαι ante διάδοχον B μερδασάν A Theoph. I p. 325, 16. 18. 21. 27, μερδασᾶν Rwp, v. vs. 9 4 ἐπιτίθεται RwpDi, ὑποτίθεται A 7 μάχεσθαι om. C 8 κατανάγκαζες E τὸν] καὶ τὸν D 9 μερδασᾶν ARwp, corr. Di 10 ἄλλους om. D 12 τὸν] τὴν D 14 αἰχμαλώτους ἐν περσίδι C

itum maturandum; nam cum multos haberet liberos, reiecto Siroe
natu omnium maximo alii tradere voluit regnum, nomine Mer-
dasan. Quo Siroes cognito, conciliatis sibi quibusdam satrapis 16
patrem invadit eique in vincula coniecto, cum multum auri et
pretiosarum gemmarum acervos proposuisset, "Ob haec" inquit 17
"Romanos contra Persas concitasti ac mutuis caedibus et cladibus
grassari cogebas; fruere igitur desideriis tuis." Deinde filium 18
quoque illius Merdasan, cui regnum destinarat, ceterosque liberos
in conspectu illius ac tum demum ipsum quoque sustulit. Ita 19
regno Persarum potitus legatos ad Heraclium mittit, Chosroae
interitum illi nuntians, paceque facta omnes Romanos in Perside 20
captivos dimittit et venerabilia ligna salutaris crucis et patriarcham
Hierosolymitanum Zachariam illi restituit. Rex vicissim Persis, 21
qui a Romanis tenebantur, domum redeundi potestatem dedit.
His sexennio peractis et pretiosis lignis ipsoque patriarcha Hie- 22

τὸν πατριάρχην αὐτόν, τῷ ἑβδόμῳ ἐπανῆλθεν εἰς τὰ βασίλεια, μετ' εὐφημίας καὶ κρότων δεχθεὶς καὶ λαμπρότητος παρά τε τῆς γερουσίας καὶ τοῦ πλήθους τῆς πόλεως.

17 Γενομένῳ δὲ τῷ βασιλεῖ Ἡρακλείῳ κατὰ τὴν Ἱερουσαλὴμ ὁ τῶν Ἰακωβιτῶν καθολικὸς προσελήλυθεν, ὃν ἐκεῖνοι πατρι- 5
2 άρχην ὠνόμαζον. τούτῳ τοίνυν ὁ βασιλεὺς αἰτίαν προσῆπτεν,
C ὅτι τὴν ἐν Χαλκηδόνι μὴ δέχοιτο σύνοδον μηδὲ δύο φύσεις ἐν Χριστῷ ἡνωμένας ὁμολογεῖ, λέγων ὡς εἴ γε τὴν σύνοδον δέ-
W III 70 ξοιτο καὶ δύο φύσεις ἀσυγχύτους ἐπὶ τοῦ σωτῆρος ὁμολογήσει, ὁμόδοξον αὐτὸν ἡγήσοιτο καὶ τῆς Ἀντιοχέων ἐκκλησίας πατρι- 10
3 άρχην προβάλοιτο. ὁ δὲ δεινὸς ὢν καὶ πονηρίας μεστός, ἵνα μὴ ἀτευκτήσῃ τῆς βασιλικῆς ὑποσχέσεως, τήν τε σύνοδον ὑποκεκριμένως ἐδέξατο καὶ δύο φύσεις ἐπὶ Χριστοῦ λέγειν ἡνω-
4 μένας κατέθετο. περὶ δέ γε τῶν θελημάτων καὶ τῶν ἐνεργειῶν ἐπυνθάνετο, εἰ διττὰ ταῦτα λέγειν χρεὼν ἢ ἑνιαῖά τε καὶ μονα- 15
D 5 δικά. ὁ δὲ αὐτοκράτωρ γράφει περὶ τούτου δὴ τοῦ ζητήματος
6 πρὸς τὸν Κωνσταντινουπόλεως Σέργιον. κἀκεῖνος πάλαι τὰ

17 ὅπως ὁ (om. E) Ἡράκλειος εἰς τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἐξεκυλίσθη (ἐξελήλυθε E) ACE

7 Καλκηδόνι p* invitis ARw 9 ἀσυγχύτους (ἀσυγχύτως E) ἐπὶ τοῦ σωτῆρος AE, ἐπὶ τοῦ (του D) σωτῆρος χριστοῦ ἡνωμένας ἀσυγχύτως R, ἡνωμένας ἀσυγχύτως ἐπὶ τοῦ σωτῆρος χριστοῦ wp, ἀσυγχύτους ἐπὶ τοῦ σωτῆρος Χριστοῦ *Di* 11 προβάλοιτο ARwp, προβάλλοιτο BD, προβαλοῖτο *Di* 12 ὑποκεκρυμμένως BE 13 ἐπὶ τοῦ D 16 δ' Rwp*Di* 17 s. τὰ τῆς] τὴν τῶν D

rosolyma restitutis, Heraclius anno septimo in regiam regressus a senatu populoque Byzantino laetis acclamationibus et cum plausu splendidissime excipitur.

17. Ceterum rex Heraclius in reditu Iacobitarum catholicum,
2 quem illi patriarcham nominant, Hierosolymis incusavit, quod Chalcedonense concilium improbaret neque duas naturas in Christo citra confusionem unitas confiteretur, et addidit se, si illam synodum probasset duasque naturas in salvatore esse concessisset, putaturum eum esse doctrinae eiusdem participem et designatu-
3 rum Antiochenae ecclesiae patriarcham. At ille homo callidus et dolis plenus, ne regis promissum ad irritum caderet, et concilium se approbare simulat et duas naturas in Christo unitas
4 se profiteri ait. Sed de voluntatibus et actionibus percontatur,
5 utrum eas duplices an unas et singulas dici fas sit. Eam quaestionem imperator ad Sergium patriarcham Cpolitanum scribit.
6 Qui cum pridem Monothelitarum haeresim probaret, unam naturalem voluntatem et unam actionem in Christo statuendam esse

τῆς Μονοθελητῶν πρεσβεύων αἱρέσεως, μίαν φυσικὴν θέλησιν
καὶ μίαν ἐνέργειαν δεῖν δογματίζειν ἐπὶ Χριστοῦ τῷ βασιλεῖ
ἀνταπέστειλεν. ἀλλὰ καὶ Κῦρον ἐρωτήσας τὸν Φάσιδος τῷ 7
Σεργίῳ εὕρηκεν ὁμογνώμονα. τούτοις καὶ αὐτὸς ὑπαχθεὶς ὁ 8
11 Ἡράκλειος τῆς δόξης γίνεται ταύτης καὶ ἀνατροπὴν ποτίζεται
θολερὰν παρὰ τῶν μισθωτῶν, ἀλλ' οὐ ποιμένων ἐκείνων. τοῦ 9
Σωφρονίου μέντοι τοῦ ἱεροῦ τοῦ ἐν Ἱεροσολύμοις ἀρχιερατεύ-
οντος τοὺς ὑφ' ἑαυτὸν ἀρχιερεῖς συναθροίσαντος καὶ συνοδικῶς
ἀποδείξαντος τοὺς μίαν λέγοντας θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν
10 δύο φύσεων τοῦ Χριστοῦ μίαν ἄντικρυς καὶ φύσιν κηρύττειν, P II 86 A
σύμψηφον δὲ σχόντος ἐπὶ τούτῳ καὶ τὸν τὸν θρόνον τῆς πρε-
σβυτέρας Ῥώμης διέποντα Ἰωάννην, ὁ βασιλεὺς προέθετο πρό- 10
γραμμα μήτε ἑνιαίαν ἐνέργειαν μήτε διττὴν ἐν Χριστῷ δογματί-
ζεσθαι· ὃ καταγέλαστον οὐ τοῖς ὀρθόφροσιν ἐδόκει μόνον, ἀλλὰ
15 καὶ τοῖς Σευήρου ὁμόφροσι. Σεργίου δὲ τοῦ τὸν θρόνον ἔχοντος 11
Κωνσταντινουπόλεως τὴν ζωὴν καταστρέψαντος, Πύρρος αὐτὸν
διεδέξατο, τὰ αὐτὰ ἐκείνῳ δοξάζων καὶ τὰ Σευήρου καὶ Κύρου
σέβων τε καὶ κυρῶν.

6 περὶ (παρὰ C) τοῦ ἱεροῦ Σωφρονίου καὶ τῆς παρ' ἐκείνου γενομένης συν-
όδου CE, περὶ τῆς γενομένης συνόδου παρὰ τοῦ ἱεροῦ Σωφρονίου A
15 περὶ πατριαρχῶν C

1 | αἵρεσιν D 3 ἀντεπέστειλεν B, v. ad XIII 9, 28 κῦρον O*Di*,
κύρον AEwp φάσιδαν D 4 ἀπαχθεὶς B, ὑπαχθὴς E ὁ om. D
7 τοῦ alterum om. O post ἐν add. τοῖς O 8 ante τοὺς add. τότε
Owp 11 τούτου C τὸν τὸν] v. XVII 5, 43. 6, 9. XVIII 25, 2
et Usenerum *Der heil. Theodos.* cet. Lips. 1890 p. 173 13 μηδὲ
διττ. C 15. 17 σεβήρου Ewp*Di* 15 τοῦ om. D

regi rescribit. Rogatum Cyrum quoque Phasidis episcopum in- 7
tellegit idem cum Sergio sentire. Quorum auctoritate motus 8
Heraclius et ipse eandem opinionem amplectitur et turbidam
aquam bibit ab illis non pastoribus sed mercenariis exhibitam.
Verum cum S. Sophronius summo sacerdotio fungens Hierosoly- 9
mis, subiectis sibi sacerdotibus convocatis, per concilii modum
demonstrasset, qui unam in duabus Christi naturis voluntatem
atque actionem affirmarent, eos plane unam quoque naturam
statuere, eique Ioannes, papa Romanus, assensus esset, rex edi- 10
ctum proponit neque singularem neque binariam in Christo actio-
nem esse asserendam, quod edictum non orthodoxis tantum, sed
Severi etiam sectatoribus ridiculum videbatur. Sergio patriarchae 11
Cpolitano defuncto Pyrrhus eiusdem opinionis succedit, sententiae
Severi et Cyri et admirator et approbator.

12 Ὑποστρέφοντι δὲ τῷ βασιλεῖ τούτῳ ἐκ τῆς Περσίδος τροπαιοφόρῳ πρόσεισι Μωάμεθ ὁ τῶν Σαρακηνῶν φύλαρχος, οὐκ B ἐκ γένους τὸ φυλαρχεῖν κληρωσάμενος (τῶν γὰρ ἀσήμων ἐτύγ- 13 χανεν ὤν), ἀλλὰ πονηρίᾳ τοῦτο κτησάμενος. πένης γὰρ ὢν παρά τινι γυναικὶ πλουσίᾳ χήρᾳ ἐθήτευεν, ἣν ἔγημε, γοητείαις 5 14 ὑπαγαγὼν εἰς ἔρωτα ἑαυτοῦ. ἐπιληψίας δὲ νοσήματι συνεχόμενος καὶ κατὰ καιροὺς αὐτῷ τοῦ πάθους προσβάλλοντος πίπτων καὶ τῶν φρενῶν ἐξιστάμενος, ἀθυμίας αἴτιος τῇ ἑαυτοῦ 15 κυρίᾳ καὶ γαμετῇ καὶ αἰσχύνης ἐγίνετο. ὁ δὲ αὐτός τε πονηρὸς ὢν καί τινι δὲ μοναχῷ πονηροτέρῳ ἑαυτοῦ ἐντετυχηκὼς διὰ 10 κακοπιστίαν φυγαδευθέντι τῆς Βυζαντίδος καὶ παρ' αὐτοῦ δι- 16 δαχθείς, ἔλεγε τῇ γυναικὶ τὸν Γαβριὴλ τὸν ἀρχάγγελον οὐρανόθεν αὐτῷ φοιτῶντα ἀπόρρητά τινα μυεῖν, μὴ φέρειν δὲ τὴν C τούτου θέαν καὶ διὰ τοῦτο ἰλιγγιᾶν καὶ φόβῳ συνέχεσθαι καὶ D 17 πρὸς γῆν κατακλίνεσθαι. ταῦτα δ' εἶχεν αὐτῷ συμμαρτυροῦντα 15 καὶ τὸν μοναχὸν ἐκεῖνον τὸν δόλιον καὶ τῇ γυναικὶ λέγοντα ὅτι ὡς ἀληθῶς πᾶσι τοῖς προφήταις οὗτος ὁ Γαβριὴλ ἐπιπέμπεται.

1 περὶ τοῦ (om. C) Μουχούμετ καὶ ὅπως καὶ πότε εἰς τὰς Ῥωμαϊκὰς χώρας ἐγκατῳκίσθη CE, περὶ Σαρακηνῶν B

1 ὑπο|τρέφοντι C τῆς om. Ewp 3. 4 τῶν γὰρ — τοῦτο κτησάμενος om. O 5 πλουσίᾳ χήρᾳ AE, ὁμοφύλῳ πλουσίᾳ χήρᾳ (R)wp, χήρᾳ ὁμοφύλω πλουσία D 6. 10 αὐτοῦ D 7 προςβάλοντος A, προςβάλλοντος Rwp, προςβαλόντος *Di* πίπτων AEwp G. M. p. 592, 7, καταβαλλόμενος O 10 δὲ om. O 11 τῆς Βυζαντίδος] Noli addere ἐκ, v. XIII 15, 4. 20, 23. XIV 25, 28 12 τῇ γυναικὶ τὸν om. E 13 ἀπόρρητα AE, θεῖα Owp*Di* post μυεῖν add. καὶ ἀπόρρητα Owp*Di* 15 συμμαροῦντα E 16 καὶ τὸν δόλιον ἐκεῖνον τὸν μοναχὸν B 17 οὗτος ARwp G. M. p. 592, 13, οὕτως mutatum ex οὗτος B, οὕτως C

12 In eodem regis triumphali ex Persia reditu regem convenit Moametus, Saracenorum princeps, cui orto ex familia ignobili principatus non ex nobilitate generis, sed ex nequitia contigerat; 13 nam cum pauper esset, locupleti cuidam viduae mercede serviebat, quam praestigiis quibusdam in amorem sui pellectam uxorem 14 duxit. Sed quia comitiali morbo laborabat et ex intervallis impetu illius mali prostratus mente alienabatur, dominae suae uxori- 15 que et maerori et pudori erat. Ceterum homo improbus monachum se nequiorem nactus ob perversam religionem Byzantio 16 exactum, illius instinctu uxori ait archangelum Gabrielem de caelo ad se descendentem arcana quaedam sibi revelare; cuius conspectum quod ferre non possit, se oborta ex metu vertigine humi 17 procumbere. Ea verba testimonio dolosi illius monachi quoque confirmabantur, qui mulieri dicebat omnino hunc Gabrielem ad

ἐντεῦθεν ἡ γυνὴ ἀποσκευαζομένη τὸ ὄνειδος, ἐγκαυχωμένη δὲ 18
μᾶλλον ὡς συνοικοῦσα προφήτῃ, τὸν λόγον τοῦτον εἰς τὰς
λοιπὰς γυναῖκας προήνεγκε, καὶ οὕτως ὄνομα προφήτου παρὰ
τοῖς ὁμοφύλοις ὁ μυσαρὸς ἐκεῖνος ἐκτήσατο. θανούσης δὲ τῆς 19
5 *γυναικὸς ἐκείνης, τῶν ἐκείνης κληρονόμος γενόμενος καὶ φύλ-*
αρχος καὶ διδάσκαλος καὶ νομοθέτης τοῦ ἔθνους τῶν Ἰσμαη-
λιτῶν ἐχρημάτισε, τοὺς μὲν λόγοις ἀπατῶν, τοῖς δὲ μὴ εὐχερῶς 20 D
αὐτῷ πειθομένοις τὸ ξίφος ἀνατεινόμενος καὶ ὑποκλίνεσθαί οἱ
ἐκβιαζόμενος. ἤδη γὰρ καὶ χεῖρα περὶ ἑαυτὸν συνήγαγεν ἱκανήν. 21
10 *οὗτος οὖν ἐκ τῆς Αἰθρίβου προϊὼν προσῆλθε τῷ βασιλεῖ, χώραν* 22
αἰτῶν εἰς κατοίκησιν, καὶ ἔλαβεν. ὃν δ' εἴρηται τρόπον τὸ 23 W III 7
ἔθνος ἅπαν κατασοφισάμενος καὶ ὑφ' ἑαυτὸν ποιησάμενος τὴν
Συρίαν κατέδραμέ τε καὶ ἐληίσατο καὶ τῶν Ῥωμαϊκῶν χωρῶν
πολλὰς ἐξεπόρθησε· καὶ ἔκτοτε οὐκ ἐπαύσατο τὸ τῶν Ἰσμαη-
15 *λιτῶν γένος τὴν Ῥωμαίων ἅπασαν γῆν κατατρέχον καὶ ληιζό-*
μενον.

Ἡράκλειος δέ, ὡς εἴρηται, εἰς τὴν τῶν Μονοθελητῶν ἐκ- 24
κυλισθεὶς αἵρεσιν νόσῳ περιπίπτει ὑδερικῇ. λέγεται δὲ καὶ τὸ 25 P II 87
αἰδοῖον αὐτοῦ στρεφόμενον ἄνω τὸ οὖρον πέμπειν, καὶ εἰ μὴ

17 *τελευτὴ Ἡρακλείου* AE, *Ἡρακλείου τελευτή* C

8 *πυθομένοις* D 9 *αυτὸν* (s. spir.) D(wp) 10 *Ἐθρίβου* Theoph. I p. 334, 18 (sed v. ann. cr. de Boorii) *προςῆλθεν* Ewp, *προςῆλθε* AR, v. ad XIII 1, 5 11. 12 *τοὺς ὁμοφύλους σύμπαντας* O 12 *καὶ—ποιησάμενος* om. C post *τήν* add. *τε* Owp 13 *τε* om. Owp*Di* *χώρας* Owp, *χώραν* E 14 *πολλὴν* E 15 *ἔθνος* O post *τὴν* add. *τῶν* O *ἅπασαν* om. D 17 *ἐγκυλισθεὶς* C

omnes prophetas mitti solere. Ex eo mulier abolito dedecore 18
ac potius prophetae coniugio glorians fabulam istam inter ceteras
mulieres spargit. Sic impurus ille apud suos populares prophetae
nomen consecutus et uxoris mortuae hereditate locupletatus, Is- 19
maeliticae gentis princeps et doctor et legislator est habitus, cum 20
alios verbis seduceret, alios imperium detrectantes stricto gladio
sibi cedere cogeret; iam enim manum non contemnendam fecerat. 21
Is igitur ex Aethribo progressus regem convenit et regionem ad 22
habitandum petitam accepit. Cumque omnes populares suos ad 23
hunc modum deceptos subegisset, Syriam direptionibus vexavit
et multas provincias Romanas evastavit. Ex eo tempore gens
Ismaelitarum Romanorum omnem terram incursare ac praedari
nunquam destitit.

Heraclius autem ita, ut expositum est, in sectam Monotheli- 24
tarum devolutus aqua intercute laborare coepit. Fertur etiam 25
inguine sursum converso faciem suam perminxisse, nisi urina

σανὶς ἐν τῷ ἤτρῳ αὐτοῦ ἐτίθετο, κατὰ τοῦ προσώπου αὐτοῦ
26 τὸ ἐκκρινόμενον ἀνεδίδοτο· ὃ συμβαίνειν ἐδόκει διὰ τὴν ἔκθε-
27 σμον μίξιν τῆς ἀδελφόπαιδος. θνήσκει οὖν ὁ βασιλεὺς οὗτος
κατὰ τὸν τριακοστὸν πρῶτον χρόνον τῆς βασιλείας αὐτοῦ.

18 Καὶ μεταβαίνει ἡ αὐταρχία πρὸς τὸν υἱὸν αὐτοῦ Κων- D
2 σταντῖνον, ἧς βραχύ τι ἀπώνατο. ἕνα γὰρ μοναρχήσας ἐνι-
αυτὸν φαρμάκῳ διώλετο παρὰ Μαρτίνης αὐτῷ κερασθέντι τῆς
3 μητρυιᾶς τε ὁμοῦ καὶ ἐξαδέλφης αὐτοῦ· ᾧ γυνὴ συνῴκιστο
Γρηγορία, θυγάτηρ τοῦ πατρικίου Νικήτα, ἐξ ἧς υἱὸς αὐτῷ
B 4 Κώνστας ἐγένετο. ἦν δὲ ὁ Κωνσταντῖνος περὶ τὴν πίστιν ὀρθός, 10
τὴν βασιλείαν πατρόθεν διαδεξάμενος, οὐ μέντοι καὶ τὸ κακό-
5 δοξον. διὸ λέγεται τῆς κατ' ἐκείνου ἐπιβουλῆς καὶ τὸν Πύρρον
συμμετέχειν τὸν τῆς Κωνσταντινουπόλεως πρόεδρον.

5 *βασιλεία Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ* A, *βασιλεία Κωνσταντίνου τοῦ υἱοῦ Ἡρακλείου καὶ ὅπως καὶ τὴν ζωὴν καὶ τὴν βασιλείαν ἀπώλεσεν* E, *βασιλεία Κωνσταντίνου τοῦ* (om. BC) *υἱοῦ Ἡρακλείου* O

1 *ἴτρῳ* CDEwp 2 *ἄθεσμον* D 3 *γοῦν* Ewp 4 *κατὰ τὸν τριακοστὸν πρῶτον χρόνον τῆς βασιλείας αὐτοῦ* AE, *τριακοστὸν ἐφ' ἑνὶ χρόνον ἀνύων ἐπὶ τῇ βασιλείᾳ ῥωμαίων* Owp 5 *καὶ μεταβαίνει ἡ αὐταρχία πρὸς τὸν υἱὸν αὐτοῦ κωνσταντῖνον* AE unus P, *ἡ δὲ βασιλεία καὶ τὰ τῆς αὐταρχίας εἰς τὸν ἐκείνου υἱὸν τὸν* (om. CD) *κωνσταντῖνον μεταβεβήκασι τὴν τῶν ῥωμαίων ἡγεμονίαν πατρόθεν διαδεξάμενον* (v. p. 216, 11) O (simillime tres P), *μεταβαίνει δὲ ἡ αὐταρχία πρὸς τὸν υἱὸν αὐτοῦ κωνσταντῖνον* w*p, imperium autem et summa potestas ad eius filium Constantinum successione devenit: *Wo* lat. 7 *ἀπώλετο* O 8 *μητρυᾶς* (sic) AC 9 *Γρηγορία*] v. Nicephor. Cpol. p. 21, 21 et *Duc* famil. Byz. p. 102 10 *Κωνσταντῖνος*] *κώνστας* C *περὶ* des. B fol. 359ᵘ, *τὴν πίστιν* inc. B fol. 353ʳ 11 *τὴν βασιλείαν πατρόθεν δεξάμενος, οὐ μέντοι καὶ τὸ κακόδοξον* AEwp, *τῆς ἀρχῆς, ἀλλ' οὐχὶ καὶ τῆς κακοδοξίας τοῦ πατρὸς κληρονόμος γενόμενος* O 13 *μετέχειν* D

26 tabella imo ventri opposita averteretur. Id ei accidisse creditum
27 ob incestum cum fratris filia coitum. Mortuus est hic rex anno
regni tricesimo primo.

18. Devenit imperium ad eius filium CONSTANTINVM, quo
2 non diu est laetatus. Nam cum unum regnasset annum, veneno
3 periit a Martina noverca eademque patrueli temperato. Uxorem
habebat Gregoriam, Nicetae patricii filiam, e qua Constantem sus-
4 cepit. De religione Constantinus recte sensit, paterni imperii
5 dumtaxat, non item perversae opinionis heres. Qua de causa
etiam Pyrrhus, patriarcha Cpolitanus, conscius fuisse insidiarum
putatur.

Τούτου δ' οὕτω τὸν βίον καταλύσαντος Μαρτῖνα σὺν τῷ 6
Ἡρακλωνᾷ τῷ παιδὶ τῆς βασιλείας ἀντέσχοντο, ἀλλὰ καὶ οὗτοι
ταχέως τῆς ἀρχῆς ἐκπεπτώκασι. μισηθεῖσα γὰρ ἡ Μαρτῖνα 7
παρὰ τῆς γερουσίας διὰ τὸν φόνον τοῦ Κωνσταντίνου κατα-
5 *σπᾶται μὲν τῶν βασιλείων, ἐπαναστάσης αὐτῇ τῆς συγκλήτου,*
ἐκτέμνεται δὲ τὴν γλῶσσαν αὐτή, τὴν ῥῖνα δὲ ὁ Ἡρακλωνᾶς 8
ἔτι δεκέτης ὤν, καὶ ἀμφοῖν ὑπερορία καταψηφίζεται. καὶ ὁ 9
Πύρρος τῆς ἐκκλησίας ἐκβάλλεται καὶ φυγὴν κατακρίνεται. C
Καὶ εἰς μὲν τὸν βασίλειον θρόνον Κώνστας ὁ ἔγγονος 19
10 *Ἡρακλείου, υἱὸς δὲ Κωνσταντίνου καθίζεται παρὰ τῆς συγκλή-*
του, εἰς δὲ τὸν ἀρχιερατικὸν Παῦλος ἀντικαθίσταται. καὶ οὗτος 2
δὲ ὡμογνωμόνει τοῖς πρὸ αὐτοῦ, Σεργίῳ καὶ Πύρρῳ δηλαδή.
ὁ γοῦν αὐτοκράτωρ Κώνστας τἆλλα μὲν οὐκ ἀχρεῖος γέγονε 3
βασιλεύς, περὶ δὲ τὸ σέβας τῷ πάππῳ ὡμοίωτο. καὶ οὗτος 4
15 *γὰρ τὴν τῶν Μονοθελητῶν ἐδόξασεν αἵρεσιν. διὸ τόν τε σο-* 5

1 *βασιλεία Μαρτίνης καὶ* (*σὺν* C) *Ἡρακλωνᾶ τῷ υἱῷ* (*τ. υἱῷ* om. AE) ACE
9 *βασιλεία Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου, ὃς καὶ Μονοθελήτης ἦν* ACE, *βασιλεία Κώνσταντος τοῦ* (om. B) *ἐγγόνου* (*ἐγκόνου* D) *Ἡρακλείου* R

1 *τούτου δ' οὕτω* AEw, *οὕτω δὲ τούτου* O, *τούτου δὲ οὕτω* p**Di* *μαρτίνα* AO (v. vs. 3) 3 *τάχιστα* O *μαρτίνα* ACDE 6 *γλῶσσαν* AO (v. ad XIII 21, 8), *γλώτταν* E, *γλῶτταν* wp*Di* 7 post *καταψηφίζεται* add. *ἀρξάντων* et lacunam relinquit XV fere litterarum B, *καταψηφίζεται ἀρξάντων* cum nota lacunae wp ("annorum numerus deest": *Wo*), *ἀρξάντων* om. AR, in marg. add. C (v. ad XIV 10, 33) 9 *καὶ* AE, *ἐντεῦθεν* Owp 10 post *δὲ* add. *τοῦ* Rwp *παρὰ τῆς συγκλήτου καθίζεται* Owp 12 *δὲ* om. C ante *ὡμογν.* add. *περὶ τὴν πίστιν* O *τῷ* (om. B) *σεργίῳ δηλαδὴ καὶ τῷ πύρρῳ.* O 13 *ὁ γοῦν αὐτοκράτωρ κώνστας* AEwp, *κώνστας* (*κώνσταν* D, corr. Dw) *δ' ὁ αὐτοκράτωρ* O 14 *τῷ πάππῳ δὲ περὶ τὸ σέβας ὡμοίωτο* O 15 *ἐδόξασεν* A, *ἐδόξαζεν* E, *ἐπρέσβευεν* Ow, *ἐπρέσβευσεν* p *αἱρέσει* E

Hoc ita defuncto Martina cum filio Heraclona imperium 6
sibi vindicabat; quo et ipsi cito exciderunt. Nam ob Constantini 7
parricidium senatui invisa per seditionem solio regio avulsa est
ipsique lingua exsecta, Heraclonae vero decenni adhuc puero 8
nasus praecisus, et uterque relegatur. Pyrrhus item ecclesia 9
eiectus exulare iubetur.
19. Deinde Constanti Heraclii nepoti, Constantini filio, a
senatu regnum, Paulo pontificatus defertur. Qui Paulus eiusdem 2
cum Sergio et Pyrrho decessoribus opinionis fuit. Ipse quoque 3
imperator Constans ceteris quidem in rebus non inutiliter admini-
stravit regnum, sed in religione avum imitatus Monothelitarum 4
sectam est sectatus. Qua de causa Maximum, virum sapientissi- 5

φώτατον ἄνδρα τὸν θειότατον Μάξιμον καὶ τοὺς αὐτοῦ φοι-
D *τητὰς καὶ ἄμφω ἐκόλασε καὶ Μαρτῖνον τὸν ἁγιώτατον πάπαν*
6 *τῆς Ῥώμης ὑπερορίᾳ κατέκρινεν, ἐν ᾗ καὶ ἀπέθανεν. ὃς σὺν* D I
τῷ ἀοιδίμῳ πατρὶ Μαξίμῳ παραγενομένῳ ἐν Ῥώμῃ σύνοδον
ἀθροίσας ἀρχιερέων ἀναθέματι τοὺς τὰ Μονοθελητῶν φρονοῦν- 5
7 *τας ὑπέβαλε· καὶ ἄλλους δὲ πολλοὺς τῶν ὀρθοδόξων ὁ Κών-*
στας ἐτιμωρήσατο μὴ θελήσαντας ὑποκύψαι τῷ αὐτοῦ μονο-
θελήτῳ θελήματι.

W III 72 8 *Ἤδη δὲ τῶν Σαρακηνῶν μέγα δεδυνημένων καὶ πολλὰς*
τῶν Ῥωμαίων ὑποφόρους χώρας καὶ νήσους σφετερισαμένων, 10
ὁ τούτων ἀρχηγὸς Μαυίας πολεμιστηρίους νῆας πλείστας πηξά-
9 *μενος ἐπιθέσθαι διεμελέτα τῇ Ῥωμαίων ἡγεμονίᾳ. ὅπερ ὁ*
Κώνστας μαθὼν καὶ αὐτὸς στόλον ἑτοιμάσας εἰς τὸ τῆς Λυκίας
P II 88 A *κατῆρε νεώριον, ὀνομαζόμενον Φοίνικα· οὗ γενομένων καὶ τῶν*
10 *Ἀγαρηνῶν ναυμαχία τῇ ἑξῆς γενήσεσθαι ἔμελλεν. ὁρᾷ οὖν ὁ βα-* 15
σιλεὺς κατὰ τὴν νύκτα ἐκείνην ἐνύπνιον ὅτι ἐν Θεσσαλονίκῃ ἦν.
11 *ὃ τῶν λογίων τινὶ κοινωσάμενος ἤκουσεν ἥττης εἶναι τὸ ὄναρ*

9 *ὅτι ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς στόλῳ κατὰ Ῥωμαίων ἐχώρησε· καὶ ἀντιταξάμενος αὐτῷ ὁ Κώνστας ἡττήθη* CE

1 *ἄνδρα τὸν θειότατον* AE, *καὶ θειότατον ἄνδρα τὸν μέγιστον* O, *ἄνδρα καὶ θειότατον τὸν μέγιστον* w*p 1. 2 *τοὺς αὐτοῦ φοιτητὰς καὶ* (om. w*p) *ἄμφω* AEwp, *ἄμφω τοὺς αὐτοῦ φοιτητὰς* O 2 post *ἐκόλασεν* (sic) add. *ἀπηνέστατα* Owp*Di* 3 *τῆς* om. C *κατεδίκασεν* C 4 *παραγενομένη* E 5 post *τὰ* add. *τῶν* DEwp 7 *θελήσαντος* C *ὑποκύψαι* ARwp, *ὑποκῦψαι* *Di*, sed v. Lobeckii paralip. p. 414 10 *ῥωμαίοις* Rwp*Di* *ὑποφόρων* BCEwp*Di* 11 *μαρίας* D, *μαβίας* DwEwp, v. ad p. 219, 13 *πολεμιστηρίας* Ewp *πλεῖστας* (sic) *νῆας* E(wp) 15 *ἔμελεν* E *γοῦν* Ewp 17 *τινὶ τῶν λογίων* D

mum ac divinum, ambosque eius discipulos supplicio affecit ac Martinum, sanctissimum papam Romanum, in exilium egit, in
6 quo et mortuus est. Nam is cum sancto patre Maximo Romam profecto, coacto primorum sacerdotum concilio, anathemate notarat
7 Monothelitarum assensores; alios quoque complures orthodoxos Constans unicae voluntati suae refragantes poenis affecit.
8 Cum autem iam Saraceni magnam adepti potentiam multas provincias Romanorum tributarias et insulas occupassent, dux eorum Mavias bellicis navibus aedificatis Romanum imperium
9 invadere cogitabat. Quo Constans intellecto et ipse classe comparata in Phoenice, Lyciae portu, appulit. Quo cum et Agareni
10 venissent, ac pugna postridie committenda esset, ea nocte rex
11 in somnis se Thessalonicae esse videt. Quo de somnio interpres quidam in consilium adhibitus cladem regi portendi dixit, quod

δηλωτικόν, "ἄλλῳ θὲς τὴν νίκην" δηλοῦν· ὃ καὶ γέγονε. ναυ- 12
μαχίας γὰρ γενομένης ὑπερέσχον οἱ ἀντιπόλεμοι, καὶ τοσοῦτος
γέγονε φόνος Ῥωμαίων ὡς ἐκ τοῦ αἵματος πορφυρωθῆναι τὴν
θάλασσαν. ὁ δὲ βασιλεὺς ἐσθῆτα φαύλην ἐνδὺς καὶ εἰς πλοῖον 13
5 *ἐμβεβηκὼς τὸ παρατυχὸν μετά τινων ὀλίγων διέδρα καὶ εἰς*
τὸ Βυζάντιον διασέσωστο. οἱ Ἀγαρηνοὶ δὲ μηδενὸς ἔτι αὐτοῖς 14
ἐναντιουμένου ὁμόσε κατὰ πάντων ἐχώρουν. τότε καὶ τὴν νῆσον 15
Ῥόδον ὑφ' ἑαυτοὺς ποιησάμενοι τὸν ἐν αὐτῇ περίπυστον κο- B
λοσσὸν καθῃρήκασιν, οὗ τὸν χαλκὸν Ἰουδαῖος πριάμενος ἔμ- 16
10 *πορος ἐννακοσίαις καμήλοις λέγεται τοῦτον μετενεγκεῖν. ἀλλ'* 17
ἐπί τινα καιρὸν ἡ τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων θρασύτης
ἀνεστάλη πως· γεγόνασι γὰρ κατ' ἀλλήλων διαφερόμενοι περὶ
315 *ἀρχηγοῦ. οἱ μὲν γὰρ τὸν Μαυίαν ᾑροῦντο, οἱ δὲ τὸν Ἀλήμ,* 18
γαμβρὸν τοῦ Μουχούμετ γενόμενον. εἶτα καὶ σπονδὰς ἔθεντο 19
15 *ἐπὶ δύο ἐνιαυτοὺς πρὸς Ῥωμαίους, καταδεξαμένους φόρους*
τελεῖν. γέγονε δὲ αὐταρχοῦντος τοῦ Κώνστα κλόνος τῆς γῆς 20
καὶ πολλαὶ χῶραι τῆς Ῥωμαίων ἡγεμονίας κακῶς ἔπαθον καὶ
πνεῦμα βίαιον ἔπνευσεν ἄλλοτε καὶ πολλὰ τῶν οἰκοδομημάτων
κατέβαλε.

10 *ὅτι ἐπὶ καιρὸν ἠρέμησαν οἱ Ἀγαρηνοί* C, *σημείωσαι* A

1 *σημαῖνον* O 2 *ὑπερέσχον*] *οἱ παρέσχον* E *ἀντιπολέμιοι* D 5 *ἐμβεβηκὸς* C 10 *ἐννακοσίαις* ARDwwp Theoph. I p. 345, 10 (Cedr. I p. 755, 10), *ἐνακοσίαις* D*Di*; praeterea v. *B-W Byz. Zeitschr*. a. 1892 p. 214 13 *τὸν* prius om. B *μαβίαν* Ewp *ἀλείμ* D 14 *εἶτα — 16 τελεῖν*] v. Muraltum *essai de chronogr. Byzant*. Petropol. 1855 p. 302 16 *κώνσταντος* w*p invitis AR, v. Theoph. I p. 348, 30 18 *οἰκοδομάτων* D

ἄλλῳ θὲς τὴν νίκην significaret alteri victoriam tribuendam; idque accidit. Commisso enim proelio hostes superiores evasere, tanta 12 Romanorum caede edita, ut mare illorum sanguine purpurasceret, et Constans vili veste indutus fortuito navigio conscenso cum 13 paucis Byzantium evaderet. Agareni vero iam obsistente nemine 14 invadebant omnia. Tunc etiam Rhodo insula subacta celebratum 15 in ea colossum demoliti sunt; cuius aes Iudaeus quidam mercatus 16 nongentis camelis fertur asportasse. Ceterum Agarenorum auda- 17 cia, qua Romanos lacessebant, aliquantisper nonnihil est repressa, orta inter eos de duce exercitus controversia, aliis Maviam, aliis 18 Alimum, Muchumeti generum, praeferentibus; ac biennii indutias 19 cum Romanis tributa pollicitis fecerunt. Sub Constante multae 20 Romanorum provinciae terrae motu ventorumque procellis, quae multa aedificia deiecere, afflictae sunt.

C 21 Τοῦ πατριάρχου δὲ Παύλου δώδεκα ἐνιαυτοὺς ἀνοσίως
προστάντος τῆς ἐκκλησίας, εἶτα θανόντος, εἰσάγεται πάλιν ὁ
Πύρρος εἰς τὴν ποιμαντικὴν τοῦ λαοῦ Κωνσταντινουπόλεως,
22 τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας τοῦ Κώνσταντος. οὗτος γὰρ
ὁ Πύρρος ἐξωσθείς, ὡς εἴρηται, τῆς ἐκκλησίας εἰς Ῥώμην ἀφί- 5
κετο καὶ ἐλεγχθεὶς παρὰ τοῦ ἁγίου Μαξίμου κακῶς δοξάζων
ὑπεκρίθη μετατεθῆναι τῆς δόξης τῶν Μονοθελητῶν, καὶ ἀπαι-
τηθεὶς παρὰ τοῦ τότε πάπα λίβελλον περὶ πίστεως δέδωκε καὶ
23 ἐδέχθη. εἶτα τῆς Ῥώμης ὑποχωρήσας καὶ εἰς Ῥάβενναν ἀπελ-
24 θὼν ἐγνώσθη τῆς αἱρέσεως μὴ ἐκστάς. ὅθεν ὁ πάπας τοῦτο 10
μαθὼν καὶ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ἀθροίσας καθαίρεσιν
D 25 αὐτοῦ τελείαν κατεψηφίσατο. οὗτος οὖν τὸ δεύτερον μῆνας τέσ-
26 σαρας τὸν θρόνον τῆς Κωνσταντίνου κατεσχηκὼς τέθνηκε· καὶ
προεχειρίσθη πατριάρχης Πέτρος, ὁμόδοξος καὶ οὗτος τοῖς πρὸ
αὐτοῦ, καὶ ἐπὶ δώδεκα τῆς ἐκκλησίας ἄρξας ἐνιαυτοὺς θνήσκει. 15
27 μεθ' ὃν προέστη τῶν ὀρθοδόξων Θωμᾶς, τῆς ὀρθῆς ἐχόμενος
δόξης, ὃς μετὰ δύο ἔτη καὶ μῆνας ἑπτὰ τὸν βίον μετηλλαχὼς
Ἰωάννην ἔσχε διάδοχον.

28 Οὗτος ὁ βασιλεὺς Κώνστας τὸν ἴδιον ἀνεῖλεν ὁμαίμονα
Θεοδόσιον καὶ ἐμισήθη ὑπὸ τῶν τῆς πόλεως διά τε τοῦτο καὶ 20

1 *περὶ πατριαρχῶν καὶ τοῦ Πύρρου* (*πύρου* E) CE 19 *ὅπως ἐμισήθη ὁ Κώνστας παρὰ τῶν ὑπηκόων καὶ εἰς Σικελίαν ἀπάρας ἐκεῖ ἀνῃρέθη* CE

1 *δώδεκα*] v. Gedeonem l. c. p. 243 s. 4 *ἔτει τῆς βασιλείας κώνσταντος* D, *τῆς βασιλείας τοῦ κώνσταντος ἔτει* Ewp 5 *εἴρηται*] XIV 18, 9 *ἱστόρηται* BCEwp 7 *μετατεθῆναι* OwpDi, *μεταθῆναι* A, *μετὰ τεθῆναι* E 14 *τοῖς*] *τῶν* B 15 *καὶ* RwpDi, om. A 17 *καὶ* om. D *μετήλλαχε καὶ* E 20 *καὶ* alterum om. C

21 Patriarcha Paulo, cum duodecim annos ecclesiae nefarie
praefuisset, mortuo Pyrrhus duodecimo anno regni Constantis
22 in sedem urbis pastoralem revocatur. Nam cum, ut dictum est,
ecclesia excidisset, Romam profectus et a sancto Maximo pravae
opinionis convictus se deseruisse Monothelitarum opinionem si-
mulat libellumque de fide sua papae petenti offert, a quo appro-
23 batus est. Inde clam Ravennam digressus haeresim celare non
24 potuit. Quo papa comperto, convocatis suis episcopis eum peni-
25 tus condemnat. Is igitur denuo sede Cpolitana per menses quat-
26 tuor potitus moritur. Ei succedit patriarcha Petrus, et ipse a
27 prioribus non dissentiens; quo post annos duodecim mortuo Tho-
mas verae sententiae defensor orthodoxis praefuit; qui post annos
duos et menses septem mortuus Ioannem habuit successorem.
28 Verum rex Constans ob caesum fratrem Theodosium et ob

διὰ τὰ εἰς τὸν πάπαν Μαρτῖνον καὶ τὸν μέγαν γενόμενα Μά-
II 316 ξιμον. ἀπῆρεν οὖν τοῦ Βυζαντίου καὶ εἰς Σικελίαν κατῆρε, 29
διάγων περὶ Συράκουσαν, βουλόμενος καὶ τὴν βασιλείαν εἰς
τὴν πρεσβυτέραν Ῥώμην μετενεγκεῖν. ἔλεγε γὰρ δεῖν μᾶλλον 30 P II 89 A
5 τὰς μητέρας ἢ τὰς θυγατέρας τιμᾶν. διὸ καὶ τὴν βασίλισσαν 31
καὶ τοὺς υἱοὺς αὐτοῦ (τρεῖς δ' ἦσαν, Κωνσταντῖνος, Ἡράκλειος
καὶ Τιβέριος) μετεκαλεῖτο πρὸς ἑαυτόν. ἀλλὰ τοῦτο μέν τινες 32
τῶν ᾠκειωμένων αὐτῷ διεκώλυσαν. ἄλλοι δέ φασι τὸ πλῆθος 33
τῆς πόλεως μὴ παραχωρῆσαι αὐτοῖς τῆς πρὸς ἐκεῖνον ἀφίξεως.
10 ὁ δέ γε Κώνστας ἓξ ἐν Σικελίᾳ διαγαγὼν ἔτη, ἐκεῖθεν οὐκ 34 W III 73
ἐπανῆλθεν· ἐπιβουλευθεὶς γὰρ παρὰ τῶν περὶ αὐτὸν λουόμενος
ἐπλήγη καιρίως τὴν κεφαλὴν μετὰ τοῦ ἀντλήματος, ᾧ αὐτοῦ
κατεχεῖτο τὸ ζέον ὕδωρ, καὶ ἀπέθανεν, ἄρξας Ῥωμαίων ἐνι-
αυτοὺς ἑπτά τε καὶ εἴκοσι.
15 Τούτου δὲ θανόντος τὸ μετ' αὐτοῦ στρατιωτικὸν εὐθὺς 20 B
Ἀρμένιόν τινα, Μιζίζιον ὄνομα, ἀγαλματίαν ὄντα καὶ ὡραιό-
τατον, βασιλέα προεχειρίσαντο. ὅπερ ἀκούσας ὁ τῶν Κών- 2

15 καὶ Μιζίκιος βασιλεὺς δ' οὔ B, βασιλεία Κωνσταντῖνος ὁ Πωγωνάτος A, βασιλεία Κωνσταντίνου (om. B) τοῦ Πωγωνάτου R 17 ἀπελθὼν ὁ Κωνσταντῖνος εἰς Σικελίαν τοὺς φονεῖς τοῦ πατρὸς ἐκόλασε, καὶ ὅθεν ἐπεκλήθη Πωγωνάτος C

3 συρράκουσαν D (Ephraem. 1439) 5 βασί des. B fol. 353u, λισσαν inc. B fol. 361r 7 καὶ] v. ad XIII 2, 36 12 μετὰ τοῦ ἀντλήματος] Μετὰ cum genetivo coniunctum significat instrumentum; v. L. G. p. 260, 3. 275, 10. Sophoclis lexicon p. 748, 4 15 δὲ om. C τὸ στρατιωτικὸν τὸ μετ' αὐτοῦ Ewp

admissa in papam Martinum et illustrem Maximum facinora civibus se invisum esse ratus, Byzantio relicto in Siciliam profectus 29
prope Syracusas vitam agit atque imperium etiam Romam veterem transferre voluit. Dicebat enim plus honoris deberi matribus 30
quam filiabus. Eaque de causa reginam et tres filios suos, Con- 31
stantinum, Heraclium, Tiberium ad se arcessivit. Sed vel a co- 32
gnatis retenti, vel ab urbana multitudine abire prohibiti sunt. Cum 33. 34
autem sex annos in Sicilia fuisset, inde non rediit, sed inter lavandum per insidias est occisus, capiti situla graviter impacta, qua calida aqua perfundi solebat, cum per annos septem et viginti Romanis praefuisset.

20. Eo vero defuncto legiones, quae cum illo erant, statim Armenium quendam Mizizium, adulescentem forma conspicuum, regem designarunt. Quo natu maximus Constantis filius Pogo- 2
natvs audito, quem ipse pater insignibus regni ornarat, Sicilia cum magna classe occupata et Mizizium victum occidit et patris

σταντος υἱέων πρεσβύτερος ὁ Πωγωνάτος κληθείς, ὃς καὶ τῷ
τῆς βασιλείας κεκόσμητο διαδήματι, στεφθεὶς παρὰ τοῦ πατρός,
μετὰ στόλου μεγάλου τὴν Σικελίαν κατέλαβε καὶ τόν τε Μιζίζιον
χειρωσάμενος ἀνεῖλε καὶ τοὺς τὸν φόνον κατεργασαμένους αὐτῷ
τοῦ πατρὸς καὶ πρὸς τοῖς ἄλλοις καὶ τὸν πατρίκιον Ἰουστινιανὸν 5
3 τὸν πατέρα Γερμανοῦ τοῦ πατριάρχου· αὐτὸν δὲ τὸν Γερμανὸν
ἐκτομίαν ἐποίησεν, ἤδη παρηβηκότα καὶ ὑπερβεβηκότα τὴν ἡλι-
4 κίαν, καθ' ἣν εὐνουχίζεσθαι δεδοκίμασται. λειοπώγων δ' ὢν
C ὅτ' ἀπεδήμησεν οὗτος ὁ βασιλεύς, ἐκδικήσων τὸν φόνον τὸν
τοῦ πατρός, καθειμένον ἔχων ἐπανῆγε τὸν πώγωνα· διὸ ἐξ 10
ἐκείνου Πωγωνάτος παρὰ τῶν πολιτῶν ἐπεκέκλητο.

5 Οἱ δὲ τοῦ θέματος τῶν ἀνατολικῶν εἰς Χρυσόπολιν ἀφι- D III
κόμενοι ἐβόων δεῖν καὶ τοὺς λοιποὺς δύο συγγόνους τοῦ Κων-
σταντίνου στεφθῆναι, λέγοντες ὅτι "ὥσπερ εἰς τριάδα πιστεύομεν,
6 οὕτως καὶ παρὰ τῶν τριῶν ἡμᾶς χρεὼν βασιλεύεσθαι." ὁ γοῦν 15
Κωνσταντῖνος στείλας πρὸς αὐτοὺς πληροῦν τὴν αἴτησιν αὐτῶν
ἐπηγγέλλετο καὶ τοὺς τοῦ λαοῦ προεξάρχοντας μετεκαλεῖτο, ἵν'
7 αὐτῶν ἐνώπιον ἡ τῶν αὐτοῦ ἀδελφῶν ἀνάρρησις γένηται. ἐλ-
θόντας δ' εἰς τὸ Βυζάντιον ἀνεῖλεν ὡς στασιώδεις αὐτούς· ὁ

8 ὅθεν ἐκλήθη Πωγωνάτος E

1 post υἱέων add. ὁ Bwp πρεσβύτερος] De comparativo v. ad XIII 3, 6 πωγωνάτος AR, πωγνάτος w*, ΠΩΓΟΝΑΤΟΣ p* 3 μιξίζιον D 4 αὐτῷ AR, αὐτοῦ αὐτῷ w*, αὐτοῦ p* 6 δὲ AEwp, τὲ O 9 τὸν alterum om. D 10 ἔχων ἐπανῆγε A (ἐπανῆλθε G. M. p. 605, 4, ἐπανελθὼν L. G. p. 159, 13), ἔχων ἐπανῆκε R*Di*, εἶχεν ἐπανήκων w*p 15 οὕτως AO, οὕτω Ewp*Di*, v. ad XIII 6, 16 ἡμᾶς χρεὼν AR, ἡμεῖς χρεὼν D, χρεὼν ἡμᾶς Ewp 17 ἐπηγγείλατο C 18 αὐτῶν Rwp*Di*, αὐτὸν A 19 ὡς στασιώδεις ἀνεῖλεν E

necem ulciscitur, cum aliis tum patricio Iustiniano, patre Germani
3 patriarchae, interfecto; sed ipsum Germanum iam pubertatis annos
et eam aetatem, qua castrari solent, egressum eunuchum facit.
4 Quia vero hic rex ad necem patris ulciscendam profectus tenera
adhuc lanugine fuerat sed promissa barba redierat, hac de causa
Pogonati cognomen inde accepit a civibus.

5 Ceterum qui ex Orientalium themate erant Chrysopolim profecti vociferabantur duos ceteros Constantini fratres diademate esse ornandos, dicentes: "Sicut in trinitatem credimus, ita etiam
6 tribus regibus nos parere aequum est". Constantinus vero missis
legatis se postulatis eorum annuere pollicitus, populi principes
7 arcessivit, ut coram illis fratrum proclamatio fieret. Sed eos Byzantium profectos pro seditiosis interfecit; quo ceteri cognito

γνόντες οἱ ἄλλοι μεστοὶ δέους ὑπενόστησαν εἰς τὰ ἑαυτῶν. καὶ 8 D
ἀμφοῖν δὲ τῶν ἀδελφῶν αὐτοῦ τὰς ῥῖνας ἀπέτεμεν.

Οἱ δὲ τῆς Ἄγαρ ἀπόγονοι οὐ διέλιπον τὴν ὑπὸ Ῥωμαίους 9
ἅπασαν καὶ πεζῇ καὶ πλοϊζόμενοι δῃοῦντες καὶ ληιζόμενοι. εἶτα 10
5 στόλῳ βαρεῖ καὶ κατ' αὐτῆς ἐπῆλθον τῆς βασιλίδος τῶν πόλεων
καὶ ναύσταθμον τοῦ σφετέρου στόλου πεποίηντο ἀπὸ τοῦ πρὸς
δύσιν ἀκρωτηρίου τοῦ κατὰ τὸ Ἕβδομον μέχρι τοῦ Κυκλοβίου.
στόλῳ δὲ ὁ βασιλεὺς Κωνσταντῖνος ἀνθοπλισάμενος καθ' ἑκά- 11
στην αὐτοῖς ἀντετάσσετο, καὶ ναυμαχίαι ἐγίνοντο ἐξ ὥρας ἐαρινῆς
10 μέχρι δὴ φθινοπωρινῆς. ὡς δ' οὐδὲν οἱ βάρβαροι ἤνυον, ἀπά- 12
ραντες τὴν Κύζικον κατειλήφασι καὶ ταύτην ἑλόντες ἐν αὐτῇ P II 90 A
τὸν χειμῶνα διήγαγον. ἅμα δ' ἔαρι αὖθις τὴν Κωνσταντίνου 13
κατέλαβον, καὶ αὖθις ναυμαχίαι συχναί. τριβομένου δὲ τοῦ 14
καιροῦ, ἐπεὶ κατέλαβε τὸ μετόπωρον, τῇ Κυζίκῳ καὶ πάλιν
15 τὸν οἰκεῖον στόλον οἱ τῆς Ἄγαρ ἐνώρμισαν· καὶ τοῦτο οὕτως 15
εἰς ἕβδομον ἐποίουν ἐνιαυτόν. ἀπογνόντες οὖν, μᾶλλον μέντοι 16

3 ὅτι σὺν στόλῳ οἱ Ἀγαρηνοὶ ἐπολιόρκουν τὴν Κωνσταντινούπολιν ἐπὶ ζ' (ἑπτὰ C) ἐνιαυτούς, καὶ ἀπῆλθον παθόντες ἢ δράσαντες CE 16 ὅτι ἐπὶ τούτου τοῦ βασιλέως τὸ ὑγρὸν πῦρ εὑρέθη C

1 εἰς τὰ ἑαυτῶν ὑπενόστησαν Owp 2 ῥίνας ARwp, corr. *Di*, v. argumentum ad XIV 22, 1 3 διέλιπον AR (in C corr. ex διέλειπον) wp, διέλειπον B, διέλοιπον E, v. XIV 21, 19. XV 14, 20. XVI 25, 20 4 πεζοὶ DEwp πλωϊζόμενοι DEwp 5 καὶ om. B[s]DEwp 6. 7 ἀπὸ τοῦ κατὰ τὸ ἕβδομον πρὸς δύσιν ἀκρωτηρίου O 7 μέσχι w*p κυκλορίου D, quam scripturam *Wo* quoque affert 8 post δὲ add. καὶ Rwp ὁ βασιλεὺς κωνσταντῖνος AO, ὁ κωνσταντῖνος ὁ βασιλεὺς Ewp 11 αὐτὴ E 12 διήγαγον τὸ τῆς ὥρας χειμέριον O 12. 13 τῇ κωνσταντίνου ἐπῆλθοσαν O 14 πάλιν AR, αὖθις B[s]Ewp 15 ἐνώρμισαν R*Di*, ἐνώρμησαν A, ἐνορμῖσαν (s. acc.) w*, ἐνόρμισαν p*

pleni timore se receperunt ad sua. Utrique etiam fratri nasum 8
praecidit.

Agareni autem omnes Romanorum provincias terra marique 9
incendiis et direptionibus vastare non desistentes, tandem magna 10
classe ipsam etiam urbem regiam sunt aggressi, navibus suis
ab Hebdomi occidentali promuntorio usque ad Cyclobium collocatis. Sed et Constantinus classe parata in dies cum iis decerta- 11
bat, navalesque pugnae committebantur a vere usque ad autumnum. Igitur barbari, cum nihil proficerent, soluta obsidione 12
Cyzicum occuparunt ibique hiemarunt. Sub veris autem initium 13
rursus Cpolim invasere et denuo crebra proelia sunt facta. Ubi 14
cum tempus tereretur, autumno appetente Agareni classem suam
denuo Cyzicum reduxerunt; idque usque ad annum septimum 15
est factum. Re igitur desperata vel potius multis militibus necatis 16

καὶ πλῆθος ἀποβαλόντες πολύ, καὶ τῶν νηῶν ζημιωθέντες τὰς πλείονας (τότε γὰρ καὶ τὸ ὑγρὸν ἐπινενόητο πῦρ, Καλλινίκου τινὸς ἀρχιτέκτονος ἀπὸ Συρίας ἐλθόντος καὶ τοῦτο σκευάσαντος), D III
17 *μετ' αἰσχύνης καὶ λύπης πολλῆς ἀνθυπέστρεφον. ἤδη δὲ τοῦ περιλειφθέντος βαρβαρικοῦ στόλου γενομένου κατὰ τὸ Σύλαιον,* 5 *καταιγὶς πνευμάτων σκληρὰ τούτῳ προσπεσοῦσα τὸν μὲν κατέ-*
B 18 *δυσε, τὸν δὲ συνέτριψεν, ἀκταῖς προσαράξασα. ἐπιθεμένου δὲ*
W III 74 *αὐτῷ καὶ τοῦ τῶν Κιβυρραιωτῶν στρατηγοῦ, ἅπας διώλετο.*
19 *κατὰ γῆν δ' αὖθις ἑτέρα στρατιὰ τῶν Ἀράβων Ῥωμαϊκῷ προσβαλοῦσα στρατεύματι ἥττητο, ὥστε πεσεῖν, ὡς λέγεται, τριάκοντα* 10
20 *χιλιάδων οὐ μείονας. ἐντεῦθεν οἱ Σαρακηνοὶ γνόντες ὡς οὐδὲν σφίσι τῶν ἐν ἐλπίσιν ἀνύσιμον, μᾶλλον μέντοι καὶ δείσαντες μὴ αὐτοῖς οἱ Ῥωμαῖοι ἐπέλθωσι, σπείσασθαι ἐβουλεύθησαν, καὶ στέλλει πρέσβεις ὁ Μαυίας πρὸς βασιλέα, εἰρήνην αἰτούμενος.*
21 *καὶ ὁ βασιλεὺς πρὸς ταύτην κατένευσε καὶ τὸν πατρίκιον Ἰω-* 15 *άννην τὸν Πιτζιγαύδην καλούμενον ἔπεμψεν, ὡς συνετὸν ἄνδρα*

11 *ὅτι ἀπογνόντες οἱ τῆς Ἄγαρ εἰρήνην ᾔτησαν καὶ δασμὸν φέρειν ἐτήσιον* (*καὶ—ἐτήσιον* om. E) *τῇ βασιλείᾳ Ῥωμαίων τε* (om. C) *κατέθεντο* CE

2 post *γὰρ* add. *ὡς ἱστορεῖται* O *Wo* lat. *ἐπινενόηται* D 3 *ἀπὸ* AEwp, *ἐκ* O *Wo* lat. *ἐλθόντος* AEwp, *ἀφικομένου* O ante *καὶ* add. *πρὸς τὸ βασίλειον ἄστυ* Owp *κατασκευάσαντος* Ewp*Di* 4 *καὶ λύπης* om. C 5 *περιλειφθέντος* Ewp*Di*, *περιληφθέντος* A, *περιλοίπου* O 6 ante *καταιγὶς* add. *καὶ* E *τούτῳ προςπεσοῦσα σκληρὰ* O 7 *προςαρράξασα* O, v. ad XIII 7, 8 8 *αὐτῷ* AE, *τοῖς ἐκ τούτων διασωθεῖσι* Owp *τῶν* om. C *ἅπας* AEwp, *κἀκεῖνα* O 9 *προςβαλοῦσα* Rwp*Di*, *προβαλοῦσα* A 10 ante *ὡς* add. *ἐξ αὐτῶν* O 10. 11 *τριςμυρίων* O 13 *ἐπέλθωσιν* Ewp, sed v. ad XIII 1, 5 *ἐβουλεύθησαν* ARwp (v. Dion. Hal. Ant. Rom. XV 6 fin.), *ἐβουλεύσαντο* D, *ἐβουλήθησαν* *Di* 14 *μαβίας* Ewp *πρὸς βασιλέα* om. E 15 *κατένευσεν* Ewp*Di* (ipse *Di* improbat vol. V p. 93), v. ad XIII 1, 5 16 *τὸ* D, *τὸν* corr. Dw

pluribusque navibus amissis (nam tum etiam Graecus ignis a Callinico quodam architecto a Syria profecto excogitatus est) cum
17 dedecore magnoque maerore retro abierunt. Cum autem barbaricae classis reliquiae iam ad Sylaeum venissent, turbo vehemens exortus naves partim demersit, partim scopulis illisas contrivit.
18 Praeterea classem etiam Cibyrrhaeotarum dux aggressus delevit
19 totam. Ceterum etiam alius Arabum exercitus a Romanis legio-
20 nibus victus est triginta milibus, ut ferunt, occisis. Unde Saraceni cum cognovissent nihil iam spei esse vel potius timerent, ne a Romanis ipsi invaderentur, pacis faciendae consilium cepe-
21 runt. Maviae igitur pacem per legatos petenti rex annuit misitque patricium Ioannem, cui Pitzigaudae nomen erat, utpote virum

καὶ γλῶτταν περὶ τὸ λέγειν ἔχοντα εὔστροφον, τὰς τῶν σπονδῶν
συνθήκας πληρώσοντα. ὃς ἀπελθὼν πρὸς τοὺς Ἄραβας δεχθείς 22 C
τε φιλοτιμότατα, τὰ τῆς εἰρήνης ἔθετο σύμφωνα καὶ δι' ἐγγρά-
φων αὐτὴν ἐπὶ τριάκοντα ἐνιαυτοὺς ἐβεβαίωσε, τῶν Ἀράβων 23
5 καταθεμένων διδόναι τῇ βασιλείᾳ Ῥωμαίων δασμὸν ἐνιαύσιον
χρυσίου χιλιάδας τρεῖς καὶ δούλους ὀκτὼ καὶ ἵππους τῶν παρ'
αὐτοῖς δοκίμων τοσούτους. οἱ μὲν οὖν τῆς Ἄγαρ οὕτω τῆς 24
εἰρήνης ἔτυχον. οἱ δὲ κατὰ τὴν ἑσπέραν τῶν Ῥωμαίων πο- 25
λέμιοι ταῦτα μαθόντες, κἀκεῖνοι καταλῦσαι τοὺς πολέμους σπου-
10 δὴν ἔθεντο καὶ πρέσβεις πρὸς τὸν βασιλέα μετὰ δώρων ἐστάλ-
κασι, καὶ πρὸς αὐτοὺς ἡ εἰρήνη κεκύρωτο.

Καὶ ἠρεμία πολέμων ἐγένετο καὶ κατὰ τὴν ἑῴαν λῆξιν 21
καὶ τὴν ἑσπέριον.

319 Θανόντος δὲ τοῦ πατριάρχου Ἰωάννου προκεχείριστο Κων- 2
15 σταντῖνος καὶ μετὰ δύο ἔτη ἐξέλιπε· καὶ ἀνάγεται εἰς τὸν ἀρ- 3 D
χιερατικὸν τοῦτον θρόνον Θεόδωρος. ὃς μετὰ δύο ἐνιαυτοὺς 4
ἐκβληθεὶς διάδοχον ἔσχε Γεώργιον.

Ὀρθόδοξος δὲ ὢν ὁ Κωνσταντῖνος ἐσπούδασεν ἑνῶσαι 5

8 ὅτι καὶ οἱ ἑσπέριοι τῶν Ῥωμαίων πολέμιοι ἐσπείσαντο C 14 περὶ πατριαρχῶν C 18 περὶ (καὶ C) τῆς ς' συνόδου ACE

1 γλῶτταν post λέγειν O σπονδῶν RDwwp*Di*, σποδῶν AD
2 πληρώσαντα p* invitis ARw εἰς D ἄρραβας E (ita constanter fere duobus ρ id nomen in E exaratur) 2. 3 δεχθείς τε AE(wp), καὶ δεχθεὶς O 6 ὀκτὼ EDwwp*Di*, ὀκτὼ A, om. O, v. de Boorium ad Theoph. I p. 355, 25 9 καταλύσαι ARwp, corr. *Di* 12 τὴν] τὸ w*p 13 post καὶ add. κατὰ Rwp*Di* 14 θανόντος — 15 ἐξέλιπε om. D 18 post ὁ add. βασιλεὺς Owp, sed om. *Wo* lat.

prudentem et in dicendi facultate exercitatum, qui pacis interpres esset. Qui ad Arabes profectus et honorificentissime exceptus 22 cum illis pacem fecit scriptis tabulis in annos triginta firmatam, ut Arabes se Romanorum regno quotannis auri terna milia, octo- 23 nos servos totidemque equos apud se praestantes tributi nomine pensitaturos pollicerentur. Ita Agareni pacem fecerunt. Qua 24. 25 re occidentales Romanorum hostes cognita, quo erant studio belli componendi, et ipsi legatis ad regem cum muneribus missis pacem impetraverunt.

21. Ita armorum quies et in Oriente erat et in Occidente.

Defuncto patriarcha Ioanne Constantinus electus est; quo 2 post biennium mortuo Theodorus in sedem pontificiam introduci- 3 tur, cui post duos annos eiecto successit Georgius. 4

Cum autem Constantinus orthodoxus esset, studuit unire 5

τὰς ἐκκλησίας διεσχισμένας διὰ τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀπὸ τῶν χρόνων τῆς βασιλείας Ἡρακλείου τοῦ προπάππου
6 αὐτοῦ. διὸ καὶ σύνοδον οἰκουμενικὴν ἀθροισθῆναι κελεύει ἐν Κωνσταντινουπόλει, ἧς ἡγοῦντο τοῦ πάπα Ῥώμης Ἀγάθωνος τοποτηρηταί, Γεώργιος δὲ Κωνσταντινουπόλεως καὶ Θεοφάνης 5
7 Ἀντιοχείας. Ἀλεξανδρείας γὰρ οὐκ ἦν πατριάρχης οὐδ' Ἱεροσολύμων, ὅτι ὑπὸ τοὺς Σαρακηνοὺς αἱ πόλεις αὗται ἐτύγχανον.
8 ἕκτη δὲ οὖσα ἡ σύνοδος αὕτη ἐκύρωσε δύο θελήσεις καὶ δύο
P II 91 A ἐνεργείας ἐπὶ τοῦ σωτῆρος Χριστοῦ καὶ λέγεσθαι καὶ πιστεύεσθαι,
9 παρουσιάζοντος καὶ τοῦ αὐτοκράτορος, ἀναθεματισθέντων τῶν 10 τὴν μίαν φρονούντων θέλησιν καὶ ἐνέργειαν Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου, Πύρρου, Παύλου καὶ Πέτρου Κωνσταντινουπόλεως, Μακαρίου Ἀντιοχείας καὶ Στεφάνου τοῦ φοιτητοῦ αὐτοῦ καὶ ⟨Πολυχρονίου⟩ τοῦ χρονίου τὴν κακίαν καὶ νηπιόφρονος γέροντος. 15

10 Τὸ δὲ τῶν Βουλγάρων ἔθνος εἰς τὰς Ῥωμαϊκὰς χώρας τὰς πέραν τοῦ Ἴστρου γενόμενον ταύταις ἀκρατῶς ἐλυμαίνετο.

16 ὅτι ἐξεστράτευσε κατὰ Βουλγάρων οὗτος ὁ βασιλεύς, εἶτα τῶν Ῥωμαίων τραπέντων ἠναγκάσθη σπείσασθαι αὐτοῖς (om. C) καὶ φόρους διδόναι CE

3 οἰκουμενικὴν om. D *Wo* lat. 4 post τοῦ add. μὲν Rwp*Di* 6 γὰρ AR, δὲ w*p οὐδὲ Ewp 7 καὶ αὗται αἱ πόλεις D 9 καὶ πιστεύεσθαι om. w*p invitis AR, sed add. *Wo* lat.: et credendas esse 11 θεοδώρου—12 ἀλεξανδρείας i. e. unum versum om. A, ten. Rwp*Di* 12 ὀνωρίου ῥώμης R (sed erasa sunt in B), om. ut falsa wp*Di*, sed v. G. M. p. 611, 13, Cedr. I p. 767, 4 et Hefelium *Conciliengesch.* III p. 264 ss. 15 χρονίου A*Di*, πολυχρονίου Rwp, Geron: *Wo* lat., Πολυχρονίου nomen proprium supplevit ante τοῦ χρονίου *B-W*, coll. G. M. p. 611, 17, Cedr. I p. 767, 9; v. Hefelium l. c. III p. 255 16 τῶν] τὸ E 17 ἐγκρατῶς C

ecclesias ob Monothelitarum haeresim iam inde a proavo suo
6 Heraclio ortam dissidentes. Itaque concilium oecumenicum indicit Cpoli habendum, cuius fuere principes Agathonis, papae Romani, legati et Georgius Cpolitanus et Theophanes Antioche-
7 nus. Neque enim Alexandria neque Hierosolyma patriarcham
8 habebant a Saracenis occupatae. Eo concilio, quod fuit sextum, est decretum duas voluntates et duas actiones in salvatore Christo et praedicandas et credendas esse, etiam imperatore praesente.
9 Qui autem unicam voluntatem et actionem asserebant, Theodorus Pharanius episcopus, Honorius Romanus, Cyrus Alexandrinus, Sergius, Pyrrhus, Paulus, Petrus Cpolitani, Macarius Antiochenus, Stephanus eius discipulus, Polychronius, inveteratae improbitatis et puerilis vecordiae senex, anathemate sunt notati.

10 Interea Bulgaris Romanas ultra Istrum provincias effuse

ἐκστρατεύει τοίνυν κατ' αὐτῶν ὁ βασιλεὺς Κωνσταντῖνος κατὰ 11
γῆν τε καὶ θάλασσαν, στόλον πολὺν ἐκ τῆς θαλάσσης εἰσαγαγὼν
εἰς τὸν Δάνουβιν. οἱ δὲ βάρβαροι τὴν τῶν Ῥωμαίων ἰδόντες 12 B
παρασκευὴν ἐδειλίασαν καὶ εἰς ὀχύρωμά τι ποταμοῖς στεφανού-
5 μενον καὶ τενάγεσι κατακλείσαντες ἑαυτοὺς ἠρέμουν· ἀλλ' οὐδ' 13
[320] ἡ Ῥωμαϊκὴ στρατιὰ τούτοις προσέβαλεν. ἐφ' ἡμέραις οὖν τισιν 14
οὕτω διατιθεμένων τῶν ἐναντίων ἀμφοῖν, μαλακίαν οἱ βάρβαροι
τῶν Ῥωμαίων κατέγνων. ἐπισυμβέβηκε δὲ καί τι ὃ θάρσος 15
ἐκείνοις ἐνῆκε τῆς προτέρας δειλίας ἀντίθετον. ὁ γὰρ βασιλεὺς 16
10 ἐκ ποδαλγίας νοσήσας καὶ δριμυτέραις ἀλγηδόσι βαλλόμενος,
λουτροῖς χρησόμενος σὺν πέντε δρόμωσι μετὰ τῆς θεραπείας
εἰς Μεσημβρίαν (χώρα δ' ὑπὸ Ῥωμαίους τελοῦσα αὕτη ἐστί)
τὸν ἔκπλουν πεποίητο, τὴν στρατιὰν καὶ τοὺς στρατάρχας ἐκεῖσε
καταλιπὼν καὶ ἐπισκήψας πρὸς τοὺς βαρβάρους ἀκροβολίζεσθαι, C
15 ἵν' οὕτως αὐτοὺς εἰς πόλεμον ἐπισπάσωνται. φήμης δὲ γενο- 17
μένης εἰς τὸ στρατόπεδον φόβῳ τῶν πολεμίων διαδιδράσκειν
τὸν αὐτοκράτορα, αἰσχρῶς ἅπαντες μηδενὸς διώκοντος ἔφευγον.
τοῦτο τοῖς Βουλγάροις ἀπροσδοκήτως γενόμενον μένος ἐνέπνευσε 18
καὶ παρέθηξεν εἰς ἀλκήν, καὶ ὀπίσω διώκοντες πολλοὺς μὲν W III 75

1 *αὐτὸν* E 2 post *καὶ* add. *κατὰ* Rwp*Di*, v. ad XIV 27, 11, arg. ad XV 1, 23, Cedr. (Scylitz.) II p. 82, 22 *συναγαγὼν* C 3 *δάννουβιν* B, *δανουβιν* (sic) w*p 4 *ὀχύρωμά τι*] *ὀχυρώματι* F 4. 5 *καὶ τενάγεσι στεφανούμενον* O 9 *ἐνῆκεν ἐκείνοις* B 12 *χώρα*] v. XV 1, 1 *χώραν ἣ δ'* D *δ'* om. C *αὕτη τελοῦσα* B *αὕτη* om. D *αὕτη ἐστὶ τελοῦσα* C 15 *οὕτω* w*p invitis AR, v. ad XIII 6, 16 18 *γενόμενον* Rwp*Di*, *γινόμενον* et *γενόμενον* per dittogr. A ante *μένος* add. *εἰς* Em

vastantibus rex Constantinus terra marique occurrere parat, 11
magna classe e mari in Danubium traducta. Quo Romanorum 12
apparatu territi barbari munitione quadam occupata, quae flu-
minibus et limo cingebatur, quiescunt. Neque vero legiones 13
Romanae eos invasere. Cum autem utrimque dies aliquot per 14
otium ita transegissent, barbari Romanos ignavos esse perspexe-
runt. Insuper quodam eventu barbari parem priori timiditati 15
fiduciam receperunt. Nam rex summis pedum doloribus crucia- 16
tus cum quinque navibus expeditis suoque comitatu in Mesem-
briam, Romanam regionem, traicit balneis usurus, exercitu et
ducibus illic relictis, quibus mandarat, ut velitationibus hostes
ad pugnam elicerent. Verum rumore in castris orto imperatorem 17
metu hostium cepisse fugam, turpiter omnes fugiunt persequente
nemine. Quod praeter spem factum Bulgarorum animos auxit 18
et audaciam acuit, ut tergis fugientium inhaerentes multos cae-
derent neque pauciores caperent et Istro traiecto tentoria in Ro-

ἀνῄρουν, οὐ μείους δ' ἐζώγρησαν καὶ τὸν Ἴστρον περαιωθέντες
19 ἐν τῇ Ῥωμαίων ἐπήξαντο τὰς σκηνάς· καὶ οὐ διέλιπον ἐξ ἐκεί-
20 νου τὴν ὑπὸ Ῥωμαίους ἅπασαν ληιζόμενοι. ὅθεν βιασθεὶς ὁ
κρατῶν σπονδὰς ἔθετο πρὸς αὐτοὺς ἐπὶ συνθήκαις τοῦ δασμὸν
αὐτοῖς καταβάλλειν ἐτήσιον, εἰς αἰσχύνην τῆς τῶν Ῥωμαίων 5
21 ἀρχῆς. καὶ ἦν οὕτως πάντοθεν εἰρηνεύοντα τοῖς Ῥωμαίοις τὰ
D 22 πράγματα ἕως τῆς τελευτῆς τοῦδε τοῦ αὐτοκράτορος. ἐτελεύ-
τησε δὲ ἐπὶ διαδόχῳ τῷ υἱῷ Ἰουστινιανῷ, βασιλεύσας ἐνιαυτοὺς
ἑπτακαίδεκα.

22 Ἦν δὲ Ἰουστινιανός, ὅτε τῆς ἀρχῆς ἐπέβη, μειρακίσκος ἐξ 10
2 ἐπὶ δέκα ἐνιαυτοῖς. αὐτοβούλως οὖν τῇ διοικήσει κεχρημένος
τῆς βασιλείας πολλοῖς τὴν Ῥωμαίων ἡγεμονίαν κακοῖς περιέ-
3 βαλεν. οἱ γὰρ Μαρδαΐται τὰς τοῦ Λιβάνου καταλαβόντες περιω-
πὰς τοῦ Πωγωνάτου κρατοῦντος φοβεροὶ τοῖς Ἄραψιν ἦσαν· D III 32
διὸ καὶ σπονδὰς ἐκεῖνοι πρὸς Ῥωμαίους ᾐτήσαντο καὶ τούτων, 15
4 ὡς εἴρηται, τετυχήκασι. τούτου δὲ τοῦ αὐτοκράτορος ἄρτι τῶν
II 92 A σκήπτρων ἐπειλημμένου, ὁ τότε τῶν Ἀράβων ἡγεμονεύων Ἀβι-

7 τελευτὴ Κωνσταντίνου τοῦ (Κ. τοῦ om. A) Πωγωνάτου ACE 10 βασιλεία Ἰουστινιανοῦ τοῦ μετὰ ταῦτα τὴν ῥῖνα τμηθέντος AE, βασιλεία Ἰουστίνου (sic) τοῦ ῥινοτμήτου C, βασιλεία Ἰουστινιανοῦ R 13 περὶ τῶν Μαρδαϊτῶν καὶ ὅπως αὐτοὺς ἐκ τοῦ Λιβάνου μετῴκισεν οὗτος ὁ βασιλεύς, ἀπατηθεὶς παρὰ τῶν Ἀράβων C

1 δὲ D 2 τῇ A, γῇ Rwp διέλειπον B, v. ad XIV 20, 9 3 ἅπασα D, corr. Dw 4 πρὸς om. B 6 οὕτω wp*Di*, οὕτως AO, οὗ E, v. ad XIII 6, 16 8 δ' Ewp*Di* 10 ἦν post μειρακίσκος O δὲ om. B, transponunt post ἰουστιν. CD ὁ add. ante ἰουστιν. w*p invitis AR μιρακίσκος Ewp 13 μαρδαῖται AR, μαρδάϊται w*p, corr. *Di* post μαρδ. add. καλούμενοι Rwp 16 εἴρηται] XIV 20, 22 16. 17 ἄρτι δὲ τῶν σκήπτρων ἐπειλημμένου τούτου τοῦ αὐτοκράτορος O

...defigerent. Neque ab eo tempore destiterunt
...vastare. Unde coactus imperator

μέλεχ (ὁ γὰρ Μανίας ἔφθη θανὼν) πέμψας προσκυρωθῆναι τὴν εἰρήνην ἐζήτησεν, ἀξιῶν τοὺς Μαρδαΐτας μεταστῆναι ἐκ τοῦ 5 Λιβάνου καὶ ὑπισχνούμενος τούτου γενομένου διδόναι Ῥωμαίοις ἡμερήσιον φόρον χρυσοῦ νομίσματα χίλια καὶ δοῦλον καὶ ἵππον 5 τῶν παρ' αὐτοῖς ἐκκρίτων. ἐπὶ τούτοις οὖν ἀνανεωθεισῶν τῶν 6 σπονδῶν, καὶ τῶν Μαρδαϊτῶν εἰς δώδεκα χιλιάδας ἀνδρῶν μαχίμων ἀριθμουμένων μεταστάντων ἐκ τοῦ Λιβάνου, τὸ τῶν Ἀράβων ἔθνος τοῦ ἐξ ἐκείνων δέους ἀπαλλαγὲν πολλῶν τὴν Ῥωμαίων ἡγεμονίαν ἐνέπλησε συμφορῶν.

10 Στείλας δὲ τὸν στρατηγὸν Λεόντιον ὁ Ἰουστινιανὸς ὑπέταξε 7 δι' αὐτοῦ τὴν Ἰβηρίαν καὶ τὴν Ἀλβανίαν καὶ χώρας ἑτέρας. B οὗτος ὁ βασιλεὺς ἔλυσε καὶ τὰς πρὸς τοὺς Βουλγάρους σπον- 8 δάς, μὴ ἀνεχόμενος δασμοὺς παρέχειν αὐτοῖς. ἐκστρατεύσας 9 δὲ κατὰ τὰ ἑσπέρια πολλὰ τῶν Σθλαβικῶν ἐθνῶν ὑπηγάγετο, 15 τὰ μὲν ἑκόντα, ἔνια δὲ πολέμου νόμῳ· ἐξ ὧν καὶ νέον συνεστήσατο σύνταγμα. κατ' ἐκλογὴν γὰρ εἰληφὼς ἐκ τούτων ἄν- 10 δρας γενναίους τε καὶ νεάζοντας εἰς χιλιάδας τριάκοντα, λαὸν

10 ὅτι ὑπέταξε τὴν Ἰβηρίαν καὶ τὴν Ἀλβανίαν (ἀλανίαν C, v. ad XIV 22, 7) CE 12 ὅτι ἔλυσε τὰς πρὸς (προὺς E) τοὺς Βουλγάρους σπονδὰς καὶ ἔθνη Σθλαβικὰ ὑπηγάγετο (καὶ—ὑπηγ. om. E) CE

1 μαβίας Ewp post πέμψας add. πρὸς ἰουστινιανὸν Owp κυρωθῆναι Owp 7 τῶν] τοῦ E 8 τὴν ODi (v. XIV 22, 2), τῶν AE, τὴν τῶν w*p 9 ἐνέπλησε AR, ἐνέπλησεν EDwwp, ἐνέπλησαν D, v. ad XIII 1, 5 10 ἰουστιανὸς C 11 ἀλανίαν B, v. argum. ad h. l. Cf. Theoph. I p. 363, 30 14 σθλαβικῶν AR Ephraem. 1472, | θλαβικῶν C, σκλαβικῶν w*p, v. *Duc* ad Ann. Comn. Alex. p. 43 C

bum princeps Abimelechus (Mavias enim ante erat mortuus) per legatos pacis confirmationem petiit, rogans ut Mardaitae Libano 5 amoverentur; quod si fieret, se Romanis cotidianum tributum pensurum millenos aureos numos et servum et equum eximium pollicebatur. Iis igitur condicionibus foedere renovato et Mar- 6 daitis, qui duodecim milia virorum bellicosorum habebant, e Libano amotis, gens Arabica metu illorum liberata Romanum imperium multis malis affecit.

17 μετηνέχθησαν. ἀλλ' ὁ μὲν Γυλᾶς καὶ τῇ πίστει ἐνέμεινε καὶ
18 τὴν εἰρήνην ἐτήρησεν. ὁ δὲ λοιπὸς τὰς πρὸς θεὸν συνθήκας
ἠθετηκὼς αὖθις κατὰ Ῥωμαίων ὡπλίζετο, τοῦτο δὲ καὶ κατὰ
19 Φράγγων ποιῆσαι ἐπιχειρήσας ἑάλω καὶ ἀνεσταύρωτο. καὶ ἡ

7 περὶ Οὔγγρων CE

1. 2 ἐκ τ. πρ. | ἐπαναγαγεῖν D 2 ante εἰς add. νήσου Ewp, cf. Cedr. (Scylitz.) II p. 327, 18 4 ἐφώρασε mutatum ex ἐφόρασεν (v. ad XIII 1, 5) E 5 συνομόσας DEwp, συνωμοκότας C 7 δὲ AR, om. w*p δ' οὔγκρους A, οὔγγρους δ' Rwp, οὔγγρους δὲ D, δὲ οὔγγρους Dw, δ' οὔγγρους Di 7. 8 καὶ πρώην εἰρήκαμεν om. D, suppl. Dw (sed ειρηκαμεν) 8 πρῴην] XVI 12, 19 9 ἠρε-μῆσαι (sic) A βολοσουδὴς AR, βολογουδὴς Dwp, βουλοσουδὴς Cedr. (Scylitz.) II p. 328, 4 11 πρωςηλθέτην p* 13 ἑτοιμήθη B 15 καὶ om. D

13 qui Stephanum ex Lesbo in regnum restituere conabantur. Sed rex utrisque insidiis deprehensis et insidiatoribus supplicio affectis iis, qui imperii cupidi erant, diligentiorem custodiam adhibuit.
14 Sed Turci (Ungros autem sic vocari supra diximus) Ro-
15 manas provincias incursare soliti ad tempus quieti fuerunt. Nam dux eorum Bolosudes et partis cuiusdam princeps Gylas regem
16 convenerunt, amboque sacrosancto regenerationis lavacro initiati et arcanis nostrae religionis imbuti ac patricia dignitate ornati, onusti pecuniis in suas sedes redierunt, adducto pontifice, per
17 quem multi ad dei cognitionem pervenerunt. Ac Gylas quidem
18 in fide permansit pacemque servavit. Alter foedere, quod cum deo icerat, rupto arma Romanis intulit idemque contra Francos
19 facere aggressus captus est et in crucem actus. Elga quoque,

τοῦ κατὰ Ῥωμαίων ἐκπλεύσαντος Ῥῶς γαμετὴ Ἔλγα, τοῦ ξυν- C
ευνέτου αὐτῆς τελευτήσαντος, προσῆλθε τῷ βασιλεῖ καὶ βαπτι-
σθεῖσα τιμηθεῖσά τε, ὡς ἐχρῆν, ὑπενόστησεν. ἐφρόντιζε δὲ ὁ 20
αὐτοκράτωρ, ἤδη θανούσης τῆς τῷ υἱῷ αὐτοῦ Ῥωμανῷ συζυγείσης
5 θυγατρὸς τοῦ τῶν Φράγγων ῥηγὸς Οὔγωνος, ἑτέραν ἀγαγέσθαι
αὐτῷ γαμετήν, καὶ συνοικίζει αὐτῷ κόρην, τύχης μὲν χαμερ-
ποῦς ἢ καὶ χυδαίας, εἴποιεν ἄν τινες, καπήλων γὰρ ἐκφῦναι
ταύτην φασί, τὸ δὲ εἶδος εὐπρεπεστάτην, ἄντικρυς ἄγαλμα πλα-
σθεῖσαν παρὰ τῆς φύσεως, ἥτις Ἀναστασὼ καλουμένη Θεοφανὼ
10 μετωνόμαστο.

69 Ἔτει δὲ δωδεκάτῳ τῆς Κωνσταντίνου αὐταρχίας ὁ πατρι- 22
άρχης Θεοφύλακτος ἀπεβίω, ἐπὶ ἔτη τρία καὶ εἴκοσιν ἀρχιερα- D
τεύσας· ἑξκαίδεκα δὲ ἦν ἐνιαυτῶν, ὅτε τῆς ἀρχιερωσύνης ἀθέ-
σμως ἠξίωτο. ὅθεν καὶ ὑπὸ παιδαγωγοὺς ἐτέλει ὁ πατριάρχης, 2
15 ἕως αὐτῷ ὁ πατὴρ ἐβασίλευεν· εἶτα τούτους ἀποσεισάμενος
πολλὰ τῶν οὐ δεόντων ἢ τῶν ἀπειρημένων, εἰπεῖν οἰκειότερον,
διεπράττετο, ἱππομανῶν τε καὶ κυνοτροφῶν καὶ θήραις προσ-

11 περὶ τοῦ πατριάρχου Θεοφυλάκτου CE

1 ῥὼς EwpDi ἔλγα AR Cedr. (Scylitz.) II p. 329, 2, ὅλγα B 3 ἐφρόντισε B 5 οὔγονος D 6 ante αὐτῷ add. μὲν D 7 ἐκ-φύναι ARwp, ἐκφῦναι B^s D^s Di 8 ante ἄντικρυς add. καὶ Rwp 9 παρὰ AO, ὑπὸ EwpDi ἀναστασὼ AR, cod. Coislin. Cedr. (Scylitz.) II p. 329, 9, Glyc. p. 561, 20, ἀναστασία wp, cf. Cedr. l. c. 12 ἐπὶ om. E εἴκοσι Ewp, v. ad XIII 1, 5 13 ἐκκαίδεκα (sic) D, v. ad XIII 25, 29 ἀθέσμως om. D, suppl. Dw 14 ἠξί-ωτο] ἀρχιερατεύσας E 15 ὁ πατὴρ ἐβασίλευε· (ἐβασίλευεν ODi, v. ad XIII 1, 5) AO, ἐβασίλευσεν ὁ πατὴρ Ewp 17 τε om. O

uxor ducis Russorum, qui Romanos classe infestarat, defuncto marito se ad regem contulit ac baptizata et pro dignitate tractata domum rediit. Imperator autem, defuncta nuru sua, regis 20 Francorum Hugonis filia, de alia filio Romano despondenda cogitans uxorem ei dat puellam, humilis illam quidem generis ac potius sordidi (nam cauponibus orta dicebatur) sed forma praeditam elegantissima, naturae miraculum quoddam; quae cum Anastaso diceretur, id nomen in Theophanonem est mutatum.

22. Anno imperii Constantini XII. patriarcha Theophylactus decessit, pontificatu per XXIII annos functus; nam sacerdotio ille puer annorum XVI contra morem maiorum est potitus. Itaque 2 regnante patre paedagogis parebat patriarcha; post eorum iugo excusso multa praeter decorum aut, ut rectius dicam, contra officium faciebat; nam alendi equos et canes ac venationum simi-

3 κείμενος καὶ τὰ τούτοις πράττων ἀκόλουθα. ἔτρεφε δὲ καὶ ἵππων σφοδρότατον ἔρωτα καὶ εἶχε θηλείας ἵππους πάνυ πολλάς.
4 μία τοίνυν αὐτῶν ἡ τῶν λοιπῶν ἐπισημοτέρα κατὰ γαστρὸς ἔχουσα ἔτυχε τεκοῦσα κατὰ τὴν ἱερὰν τῆς μεγάλης πέμπτης ἡμέραν· καὶ λειτουργοῦντι τότε τῷ πατριάρχῃ ἧκέ τις κομίζων 5
5 περὶ τοῦ τοκετοῦ εὐαγγέλια. ὁ δὲ ὑπερήσθη καὶ τὴν θείαν
P II 195 A ἱερουργίαν συντεμὼν σπουδῇ πρὸς τὸ Κοσμίδιον ἀπελήλυθεν (ἐκεῖ γὰρ εἶχον αἱ ἵπποι αὐτοῦ τὰς διατριβάς) καὶ τὸν νεογνὸν πῶλον ἑωρακὼς ὑπενόστησεν εἰς τὴν ἐκκλησίαν καὶ τὴν τῶν
6 ἁγίων παθῶν τοῦ σωτῆρος Χριστοῦ ἐτέλεσε τελετήν. κατέ- 10 στρεψε δὲ τὴν ζωὴν ἐξ ἱππασίας· θρασύτατα γὰρ ἱππαζόμενος καὶ πρός τεῖχός τι τῶν παραθαλασσίων προσαραχθεὶς αἷμα διὰ στόματος ἀνήγαγε, κἀντεῦθεν ἐπὶ δύο ἔτη νοσήσας, εἶθ'
7 ὑδέρῳ περιπεσών, ἀπεβίω. καὶ προεχειρίσθη πατριάρχης Πολύευκτος, μοναχὸς ἐκτομίας καὶ λόγῳ διαπρέπων καὶ ἀρετῇ· 15
8 καὶ ὃς παρὰ τοῦ Καισαρείας κεχειροτόνητο. ὁ γὰρ Ἡρακλείας προσκεκρουκὼς κατά τι τῷ βασιλεῖ ἐκωλύθη τοῦ προνομίου

1 σημείωσαι ἃ ἐποίει ὁ πατριάρχης Θεοφύλακτος E 14 περὶ τοῦ πατριάρχου Πολυεύκτου CE

2 ἵππον (ἵππων Ewp*Di*) σφοδρότατον ἔρωτα, καὶ εἶχε θηλείας ἵππους AEwp, ἵππους θηλείας O 4 μεγάλης om. D, suppl. Dw 6 post τοῦ add. τῆς ἵππου Owp 6. 7 συντεμὼν ante τὴν O 7 κοσμίδιον ex κοσμήδιον corr. A 9 πόλον BD 10 Χριστοῦ om. O*Wo* lat. ἐτέλεσεν ἑορτὴν (ex ἑορτὴν rasura corr. B τελετὴν) O 11 θρασύτατα Rwp*Di*, θρασύτατον A 12 προσαρραχθεὶς DEwp, v. ad XIII 7, 8 13 post διὰ add. τοῦ O 13. 14 εἶτα καὶ (om. CD) ὑδέρῳ Owp 14 προσεχειρίσθη w*p invitis AR 16 καὶ om. DCEwp*Di* 17 δικαίου O

3 liumque rerum vehementi studio tenebatur. Cum igitur pro suo
4 equorum studio equas plurimas aleret, una insignior sacro magnae quintae die erat paritura; iam patriarchae sacra celebranti post-
5 quam nuntiatus est partus, laetitia elatus divinoque sacrificio properanter absoluto ad Cosmidium festinavit (nam ibi eius equae stabulabant) visoque pullo modo nato in ecclesiam reversus fe-
6 stum sanctae passionis servatoris Christi peregit. Mortis ei causa fuit equitatio; qua cum audacissime uti soleret, semel ad murum quendam maritimum alliso corpore, sanguinem per os reiecit;
7 unde cum biennium aegrotasset, ex aqua intercute obiit. Ei successit Polyeuctus, monachus spado et eloquentia et virtute
8 praeditus, a Caesariensi episcopo consecratus. Neque enim Heracliensis offenso rege potuit ius suum adhibere, quae res crimi-

*αὐτοῦ· καὶ τοῦτο τοῖς φιλοσκώμμοσιν εὕρητο κατὰ τοῦ πατρι-
άρχου αἰτίαμα. ἐπεὶ δ' ἐχειροτονήθη, τῷ βασιλεῖ ἐντυχὼν κατα-* 9 B
70 *δρομὴν ἐποιήσατο τῶν συγγενῶν τοῦ γέροντος Ῥωμανοῦ καὶ
ἀναστεῖλαι τὴν τούτων πλεονεξίαν παρῄνει. ὅπερ οὔτ' αὐτὸς* 10
5 *ἀνεπαχθῶς ἤκουσε καὶ ἡ βασιλὶς Ἑλένη, παρὰ τοῦ ἐκτομίου
Βασιλείου, ὃς μετέπειτα παρακοιμώμενος γέγονε, προβιβασθεῖσα
ἠρέθισε κατὰ τοῦ πατριάρχου τὸν αὐτοκράτορα καὶ ἐζήτει λα-
βήν, δι' ἧς αὐτὸν τὴν ἀρχιερωσύνην ἀφέληται. τότε δὲ καὶ* 11
ἡ τιμία χεὶρ τοῦ Προδρόμου εἰς τὴν ὑπερκειμένην ἀπεκομίσθη
10 *τῶν πόλεων ἐξ Ἀντιοχείας διά τινος διακόνου Ἰώβ.*

Τῶν δ' ἐν τῇ Κρήτῃ Ἀγαρηνῶν τὰ παράλια τῆς Ῥωμαίων 12
*ἡγεμονίας ληιζομένων ὁ βασιλεὺς στόλον ἑτοιμασάμενος, ὃν πλεῖ-
σται συνίστων νῆες πολεμιστήριοι, κατ' ἐκείνων ἐκπέπομφεν.* C
ἀλλ' ἐσφάλησαν τὰ τοῦ στόλου τῇ τοῦ ναυαρχοῦντος ἀπειρίᾳ 13
15 *καὶ ἀμελείᾳ. καὶ τὸ μὲν πλεῖον τοῦ πληρώματος τῶν νηῶν* 14
*ἀπώλετο, τὸ μὲν ἑαλωκός, τὸ δὲ μαχαίρας ἔργον γενόμενον,
πολλοστὸν δὲ διασέσωστο. καὶ αὐτὸς δ' ἂν ἑάλω ὁ ναύαρχος,* 15
εἰ μὴ περὶ αὐτὸν συστάντες οἱ αὐτοῦ θεράποντες καὶ συν-

8 *περὶ τῆς τιμίας τοῦ Προδρόμου χειρός* (*χ. τοῦ πρ.* C) ACE 11 *περὶ τῶν Ἀγαρηνῶν* C

1 *φιλοσκώμμωσιν* B, *φιλοσχώμοσιν* E, *φιλοσκώμασιν* D 2 *δὲ* D 3 *ἐποιήσαντο* D 4 *ἀναστεῖλε* E, corr. Ew *οὔτε* D 5 *ἀνεπαχθὼς* E, corr. Ew, *ἀνεχθῶς* D, corr. Dw *ἐλένη* AE, *ἑλένη* OswDi, v. ad XIII 1, 2 6 *βασιλείου* om. B 8 *αὐτῷ* D, corr. Dw *δὲ* om. O 9 *ἀνεκομίσθη* B 9. 10 *τῶν πόλ. ἀπεκ.* D 11. 12 *τῆς ῥωμαίων ἡγεμονίας* AEwp, *τῶν ῥωμαίων* O 12 *πλεῖστοι* D, corr. Dw 15 *πλεῖστον* DEwp 15. 16 *ἀπώλετο* ante *τῶν* O

nandi patriarcham ansam obtrectatoribus praebuit. Sed cum 9
renuntiatus esset, regem convenit cognatisque senioris Romani
accusatis monebat, ut eorum avaritiam coerceret. Quod neque 10
ipse sine molestia audivit et regina Helena, Basilio spadone insti-
gante, qui post praepositus cubiculi exstitit, imperatorem contra
patriarcham incitavit, causam quaeritans, qua pontificatum ei eri-
peret. Tum quoque veneranda manus Praecursoris per quendam 11
diaconum Iobum Antiochia Cpolim est translata.

Cretensibus autem Agarenis maritimam imperii Romani oram 12
infestantibus, rex maximam bellicarum navium classem contra
eos misit. Verum ea navarchi imperitia et negligentia in mala 13
incidit, maxima parte classiariorum vel interfecta vel capta, pau- 14
cissimis elapsis. Atque ipse etiam navarchus captus fuisset, nisi 15
eius satellites eum conglobati circumstetissent ac pulsis Agarenis

ασπισμῷ τοὺς Ἀγαρηνοὺς ἀπωσάμενοι ἄδειαν παρέσχον τῷ στρατηγῷ ἐμβῆναι εἰς τὴν στρατηγίδα τριήρη καὶ οὕτω φυγεῖν.
III 157 16 ἀλλ' οὐχ οὕτω καὶ τῷ Βάρδᾳ Φωκᾷ τῷ τῶν σχολῶν δομεστίκῳ συνηντήκει τὰ πρὸς τοὺς ἑῴους Ἀγαρηνούς, στρατηγικῇ δὲ τέχνῃ καὶ ἐμπειρίᾳ τοὺς πρὸς ἐκείνους πολέμους διατιθέ- 5
D μενος ἄστεά τε πολλὰ ἐκείνων ἀφείλετο καὶ τὰ προστυχόντα λείαν ἐτίθετο.
17 Ὅ γε μὴν τοῦ βασιλέως υἱὸς Ῥωμανὸς εἰς ἄνδρας ἤδη τελεῖν ἠργμένος ἐξ ἀγενείων καὶ εἰς ἑαυτὸν τὴν ἐξουσίαν περιαγαγεῖν ἱμειρόμενος, ἐπιβουλεύει τῇ ζωῇ τοῦ πατρός, συμπρατ- 10
τούσης αὐτῷ καὶ τῆς γαμετῆς, καὶ φαρμάκῳ δηλητηρίῳ τὴν ἐπιβουλὴν συνεσκεύασαν, ὃ λαθόντες καθαρτηρίῳ πόματι συν- D IV
18 εκέρασαν, ὅπερ ἔμελλεν ὁ αὐτοκράτωρ πιεῖν. ἄρτι δὲ δοθῆναι μέλλον εἰς πόσιν τῷ βασιλεῖ εἴτ' ἐκ προνοίας εἴτε τυχαίως τὸ πλέον ἐκκέχυτο, τὸ δὲ περιλειφθὲν ὀλίγον ὂν καὶ παρὰ τοῦ βα- 15
σιλέως ποθὲν ὀδύναις μὲν αὐτὸν καὶ κινδύνου φόβοις οὐ μικροῖς περιέβαλεν, οὐ μέντοι καὶ κίνδυνον ἐποίησεν αὐτῷ περὶ
II 196 A 19 τὴν ζωήν. τέως δ' οὖν αὐτὸν δυσχερῶς διαπέφευγε. τῷ πεντεκαιδεκάτῳ δ' ἐνιαυτῷ τῆς αὐτοῦ βασιλείας ἐν τῷ τοῦ Ὀλύμπου ὄρει οὗτος ἐξῆλθεν ὁ βασιλεύς, λόγῳ μὲν ἵνα ταῖς τῶν ἐκεῖ 20

8 ὅτι ὁ τοῦ βασιλέως υἱὸς Ῥωμανὸς ἐπεβούλευσε τῷ πατρί CE

3 τῷ ante τῶν om. CD 4 ἑώας D, corr. Dw 6 πρὸς τυχόντα D, corr. Dw 9 καὶ om. D 14 εἴτ' p* 15 ἐκέχυτο BE 17 ὁ D, οὐ corr. Dw 18 δυσχερῶς αὐτὸν O διαπέφευγε RwpDi, διαπέφευγεν A, v. ad XIII 1, 5 20 ὄρει ..... οὗτος E

praetoriae triremis conscendendae et fugae facultatem duci prae-
16 buissent. Ceterum Bardas Phocas, scholarum domesticus, rem aliter gessit contra orientales Agarenos; qui cum bellum arte imperatoria periteque administraret, multas hostibus urbes ademit et obvia quaeque praedatus est.
17 At regis filius Romanus, ex imberbi iam vir factus, potestatis ad se trahendae cupiditate adductus vitae patris, adiutante uxore, insidiatur, medicamento purganti, quod imperator hau-
18 sturus erat, toxico clam admisto. Sed hoc veneno, cum regi offerretur, sive divinitus sive casu fortuito maxima ex parte effuso et exiguo, quod superfuerat, hausto, doloribus quidem et terroribus periculorum haud parvis rex est conflictatus, vitae tamen
19 discrimen, quamquam aegre, evasit. Anno autem regni XV. in Olympi montem hic rex egressus est, per speciem precibus monachorum contra Agarenos sese armandi, cum revera id ageret,

ἀσκουμένων εὐχαῖς καθοπλισθείη κατὰ τῶν Ἀγαρηνῶν, τῷ δ' ὄντι, ὡς λέγεται, ἵνα τῷ Κυζίκου Θεοδώρῳ συγγένηται καὶ ὅπως τὸν Πολύευκτον ἐξωθήσει τῆς ἐκκλησίας σκέψηται μετ' αὐτοῦ. ἔνθα δὴ γεγονώς, κακῶς ἔχων ἐπανῆλθεν εἰς τὰ βα- 20
5 σίλεια καὶ μετ' ὀλίγον τὴν ζωὴν ἐξεμέτρησεν, ὡς μέν τισι δοκεῖ, ἐκ δυσκρασίας σωματικῆς, ὡς δ' ἑτέροις δοξάζεται, καὶ αὖθις ὑπὸ τοῦ υἱοῦ ἐπιβουλευθείς. ἦν δ' ὁ σύμπας τῆς βιοτῆς αὐ- 21 τοῦ χρόνος ἐνιαυτοὶ πεντήκοντα τέσσαρες καὶ μῆνες δύο, συμβασιλεύσαντος τῷ πατρὶ Λέοντι καὶ Ἀλεξάνδρῳ τῷ θείῳ καὶ
10 τῇ μητρὶ ἔτη τρισκαίδεκα καὶ τῷ Ῥωμανῷ τὴν βασιλείαν ἁρπά- B σαντι ἔτη ἓξ ἐπὶ εἴκοσι, μοναρχήσαντος δὲ τελευταῖον ἐνιαυτοὺς πεντεκαίδεκα. ἦν δὲ μέχρις ἀποβιώσεως ἐν πολλῇ φροντίδι 22 τὴν τοῦ ἀρχιποίμενος καθαίρεσιν τοῦ Πολυεύκτου τιθέμενος. λέγεται δὲ πρό τινων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς λίθους νυκτὸς 23
15 φέρεσθαι μετὰ ῥοίζου πολλοῦ κατὰ τῶν αὐτοῦ θαλάμων, καὶ τοῦτο συμβαίνειν ἐπὶ πλείους νύκτας, καὶ νομίσαι μὲν τὸν βασιλέα παρά τινων ἀνθρώπων λιθολευστεῖσθαι καὶ πολλοὺς περι-
IV 72 στῆσαι τοῖς βασιλείοις, οἷς ἐπιτετήρητο τὸ γινόμενον· ἀλλ' οὐδεὶς

4 τελευτὴ τοῦ βασιλέως Κωνσταντίνου ACE

1 ἀρχαῖς D, corr. Dw καθοπλησθείη p* δὲ D 2 κυζύκου (sic) A 3 πῶς O ἐξωθήσει BC*Di*, ἐξωθήσῃ AR(wp) σκέψεται D, corr. Dw 5 ὀλίγων p* 6 καὶ] ὡς D 7 δὲ D 8 καὶ δύο μῆνες Ewp, ἐπὶ δύο μησὶ O 10 post τῷ add. λακαπηνῷ Owp βασίλειαν p* 11 μοναρχήσας DE 12 post δὲ add. καὶ Bwp*Di* 14 post λίθους add. πολλοὺς D*Wo* lat. 15 σφοδροῦ D αὐτοῦ AEwp, βασιλείων O*Wo* lat. 16 νύκτας] τῶν νυκτῶν O 17 παρὰ (παρ' C) omisso τινων O post λιθολ. add. τινῶν O 18 οἷς AR, οἷος w*p τὸ γινόμενον om. C

ut ferunt, ut Theodorum Cyzicenum conveniret cum eoque deliberaret, quomodo Polyeuctum ecclesia pelleret. Inde male af- 20 fectus in regiam redit nec multo post est defunctus, sive ex intemperie corporis, sive insidiis filii repetitis. Vixit annos LIV, 21 menses duos; regnavit cum patre Leone et Alexandro patruo et matre annos XIII, cum Romano tyranno XXVI, postremo solus XV. Sed usque ad vitae finem de pontificatu Polyeucto abro- 22 gando anxie cogitavit. Ferunt autem aliquot diebus ante eius 23 obitum noctu lapides cum magno stridore contra eius thalamos esse delatos; quod cum pluribus noctibus fieret, regem ratum eos ab hominibus quibusdam iaci, multos circum regiam eius rei observatores collocasse; neque vero quemquam esse visum, a quo mitterentur; unde existimatum esse non fieri illud humanitus.

ὤφθη τῶν λίθων πομπεύς· ὅθεν οὐδ' ἐξ ἀνθρώπων τοὔργον νενόμιστο πράττεσθαι.

C 23 *Καὶ ὁ μὲν Κωνσταντῖνος τοῦ ἐπικλωσθέντος αὐτῷ μίτου ῥαγέντος τοῦ ὁρισθέντος αὐτῷ χρόνου τῆς βιοτῆς ἀπεβίω, ὁ υἱὸς δὲ αὐτοῦ Ῥωμανός, ὃς καὶ παιδίον ἐλέγετο, τῆς αὐταρχίας* 5
2 *ἐπείληπτο. παιδίον δ' ἐλέγετο, οὐχ ὅτι παιδικῆς ὢν ἡλικίας τῆς βασιλείας ἐκράτησεν (ἤδη γὰρ ἀνδράσι συντέτακτο), ἀλλ' ἀντιδιαστελλόμενος πρὸς τὸν μητροπάτορα Ῥωμανόν, ὄντα πρε-*
3 *σβύτην καὶ ὑπερήλικα. εἰ δέ τις εἴποι παιδίον αὐτὸν καλεῖσθαι, ὅτι καὶ παιδαριώδης ἦν αὐτῷ ἡ ζωή, καὶ τοῦτο τῷ ἐκείνου* 10
4 *ἤθει ἁρμοδιώτατον. ἄρτι δὲ τῶν σκήπτρων γενόμενος ἐγκρατὴς τὸν υἱὸν αὐτοῦ Βασίλειον ταινιοῖ καὶ κλήσεως βασιλικῆς ἀξιοῖ.*
D 5 *εἶτα καὶ δεύτερος αὐτῷ ἐτέχθη υἱός, ἐπὶ τῷ πάππῳ Κωνσταν-*
6 *τίνῳ τὴν κλῆσιν λαχών. αὐτὸς μὲν οὖν ὁ Ῥωμανὸς τρυφαῖς καὶ ἡδυπαθείαις ἐξέδωκεν ἑαυτὸν καὶ ἐκδεδιῃτημένῃ ζωῇ καὶ* 15 *ἀνδράσι συνῆν διεφθαρμένοις τε καὶ λοιμοῖς, τὴν δὲ τῆς βασιλείας διοίκησιν ὑπὸ τὸν πραιπόσιτον καὶ παρακοιμώμενον τὸν Βρίγγαν Ἰωσὴφ ἐποιήσατο.*

7 *Πέμπεται τοίνυν Νικηφόρος μάγιστρος ὁ Φωκᾶς ὁ δομέ-*

3 *βασιλεία Ῥωμανοῦ τοῦ παιδίου* (*τ. παιδ.* om. B) AR, sed in A post *ἀπεβίω* (vers. 4) 11 *ὅτι ἔστεψεν ὁ Ῥωμανὸς τὸν υἱὸν αὐτοῦ τὸν* (om. E) *Βασίλειον* CE 19 *ὅτι τὰ πλείω τῆς Κρήτης εἷλεν ὁ Φωκᾶς Νικηφόρος* CE

1 post *τῶν* add. *ἀνθρώπων* Ewp *οὐκ* D *τοὔργον* A (v. ad XV 1, 12), *τὸ ἔργον* Rwp*Di* 3. 4 *αὐτῷ μίτου ῥαγέντος τοῦ ὁρισθέντος αὐτῷ χρόνου τῆς βιοτῆς* AEwp, *μίτου, ἵν' οὕτως εἴπω, τῇ αὐτοῦ βιοτῇ ῥαγέντος* O 4 post *βιοτῆς* add. *ὡς εἴρηται* Owp 5 *δὲ* om. C 9 *εἴπῃ* DE 10 *τοῦτο*] *τούτῳ* C 12 post *αὐτοῦ* add. *τὸν* Ewp 13 *πάπῳ* D, corr. Dw 19 *νικηφόρος* om. C

23. Constantino ita defuncto ROMANVS, filius eius, imperium
2 capessit, qui puer dicebatur, non quod puerili aetate reguo potitus esset (iam enim vir erat), sed ad discrimen Romani avi ma-
3 terni, senis provectae aetatis. Si quis autem eum puerum dictum profiteatur ob vitam pueriliter actam, id quoque eius naturae
4 est convenientissimum. Sceptrum modo adeptus filium suum
5 Basilium diademate et regio nomine ornat. Sed et alter ei filius
6 natus est, cui avi Constantini nomen indidit. Ipse Romanus deliciis voluptatibusque deditus et luxu diffluens cum hominibus corruptis et pestilentibus vitam agebat, rerum administratione praeposito et cubiculi praefecto Bringae Iosepho mandata.
7 Nicephorus Phocas magister, domesticus scholarum, cum

στικος τῶν σχολῶν κατὰ τῶν ἐν Κρήτῃ Σαρακηνῶν σὺν ἀξιο-
μάχῳ στρατῷ καὶ δι' ἑπτὰ μηνῶν πολλάκις τοῖς βαρβάροις
συμπλακεὶς καὶ πᾶσαν πολιορκητικὴν τοῖς αὐτῶν ἄστεσιν ἐπ-
αγαγὼν μηχανήν, ὑφ' ἑαυτὸν αὐτὰ ἐποιήσατο· εἶτα καὶ τὴν αὐ- 8
5 τῶν μητρόπολιν τὸν Χάνδακα ἐξεπόρθησε καὶ τὸν ἀρχηγὸν
τῶν ἐν Κρήτῃ Σαρακηνῶν, Κουρούπην καλούμενον, ἐχειρώ-
σατο καὶ τὸν μετ' αὐτὸν τῶν ἄλλων πρωτεύοντα, ὠνομασμένον W III 158
73 δὲ Ἀνεμᾶν. καὶ εἰ μὴ διὰ φήμην κρατοῦσαν ὡς ὁ τῆς Κρήτης 9 P II 197 A
τοὺς Σαρακηνοὺς ἐξελάσων Ῥωμαῖος τῶν Ῥωμαϊκῶν ἐκ τρόπου
10 παντὸς ἐπιλήψεται σκήπτρων ἐκεῖθεν ὁ Φωκᾶς μετεκέκλητο,
τάχα τέλεον ἂν ἡ νῆσος δεδούλωτο καὶ οἱ Σαρακηνοὶ ταύτης
ἂν ἀπηλάθησαν. καὶ τὸν Λέοντα δὲ τὸν Φωκᾶν τὸν τοῦ Νικη- 10
φόρου ὁμαίμονα κατὰ τοῦ Χαμδάν, ὃς τοῦ Χάλεπ ἐκράτει, ὁ
Ῥωμανὸς σὺν δυνάμει ἀπέστειλε· καὶ οὗτος δὲ τῷ Χαμδὰν 11
15 συμμίξας ἡττᾷ κατὰ κράτος τὸν βάρβαρον, ὡς τὸ πολὺ μὲν
τῆς αὐτοῦ στρατιᾶς ἐν τῇ μάχῃ πεσεῖν, τὸ δ' ἄλλο γενέσθαι
ἁλώσιμον, αὐτὸν δὲ τὸν στρατάρχην μόλις σὺν εὐαριθμήτοις

12 ὅτι ὁ Φωκᾶς Λέων ὁ τοῦ Νικηφόρου ἀδελφὸς τῷ (τὸν E) Χαμδὰν πολεμήσας ἐνίκησεν CE

2 πλειστάκις O τοῖς βαρβάροις AEwp, αὐτοῖς O *Wo* lat. 3 πολιορκήσας ἐν D, πολιορκητικὴν corr. D_w ἄστεσιν αὐτῶν D, corr. D_w 5 τὸ .... ἐξεπόρθησεν (sic) D, ν χάνδακα suppl. D_w 6 καὶ ῥούπην D, corr. D_w 7 τὸν] τῶν p* αὐτὸν] αὐτῶν Ewp 8 δὲ extr. vers. om. E 9 ἐξελάσσων (sic) A 9. 10 παντὸς τρόπου Ewp 11 τάχα om. D, suppl. D_w δεδούλωτο AED_w, ῥωμαίοις ἐπανασέσωστο Owp 13 τοῦ prius om. O 13. 14. p. 492, 9 arg. ad vs. 12 et p. 492, 6 χαμδὰν AR (χαμβδὰν cod. Coislin. Cedr. (Scylitz.) II p. 340, 5), χαμδᾶν E (praeter arg. vs. 12), χαμαδᾶν Dwp 13 ἐκράτει τοῦ χάλεπ O, corr. D_w 16 τῆς στρατιᾶς αὐτ. πεσ. ἐν τ. μάχῃ D

iustis copiis contra Cretenses Agarenos missus et septem per
menses saepissime cum barbaris congressus atque omnibus obsi-
dionis machinis admotis eorum oppida subegit; Chandacem, eorum 8
metropolim, vastavit, Curupem, ducem Cretensium Saracenorum,
et ab illo auctoritate proximum nominatum Aneman cepit. Ac 9
nisi ob constantem famam, qua ferebant Romanum, qui Agarenos
Creta expelleret, omnino Romana sceptra arrepturum, Phocas
inde revocatus fuisset, fortasse insula penitus subacta Saraceni
pulsi essent. Leonem quoque Phocam, Nicephori fratrem, Ro- 10
manus cum exercitu contra Chamdan, Chalepi dominum, misit,
qui barbaro acie superato magnam partem exercitus eius in 11
proelio cecidit, reliquam cepit, ipso duce cum admodum paucis

12 δυνηθῆναι φυγεῖν. καὶ ὁ μὲν Λέων ἐπανελθὼν καὶ μεγαλο-
B 13 πρεπῶς ὑπεδέχθη καὶ ἐπινικίῳ θριάμβῳ τετίμητο. μελέτη
δέ τινων κατὰ τοῦ αὐτοκράτορος ἐφωράθη καὶ οἱ ταύτην συρ-
ράψαντες καὶ οἱ τούτων συνίστορες συνεσχέθησαν, πλὴν οὐκ
ἀπηνῶς ἐκολάσθησαν. 5

14 Ὁ μάγιστρος δὲ Νικηφόρος ὁ Φωκᾶς ἐκ τῆς Κρήτης
μετακληθεὶς οὐκ εἰάθη πρὸς τὸ Βυζάντιον ἐπαναδραμεῖν, ἀλλ'
ἐκελεύσθη πρὸς τὴν ἑῴαν μετὰ πάσης χωρῆσαι τῆς στρατιᾶς·
15 ὁ γὰρ Χαμδὰν αὖθις κατὰ Ῥωμαίων χωρήσειν ἠλπίζετο. ἐν
γοῦν Συρίᾳ γενόμενος ὁ Φωκᾶς καὶ τούτῳ κατὰ συστάδην 10
μαχεσάμενος, καὶ ἥττησε περιφανῶς καὶ τὴν Βέρροιαν ἄτερ τῆς
ἀκροπόλεως ἐξεπόρθησε καὶ πλοῦτον ἐκεῖθεν πλεῖστον συνήγαγε
C καὶ δορυαλώτους ἤλασεν οὐκ εὐαριθμήτους καὶ πολλοὺς δε-
σμίους χριστιανοὺς τῆς αἰχμαλωσίας ἀπέλυσε.

16 Λέγεται γοῦν ἐν ἀρχῇ τῆς αὐταρχίας τοῦ Ῥωμανοῦ τῶν Ἀγα- 15
ρηνῶν πᾶσαν χώραν λεηλατούντων εἰς ἀπορίαν περιστῆναι τὸν αὐ-
τοκράτορα, καὶ τὸν Φωκᾶν Νικηφόρον προσκαλεσάμενον ἔρεσθαι

6 ὅτι αὖθις ὁ Νικηφόρος τῷ Χαμδὰν (χαμδᾶν E) συμβαλὼν ἥττησεν αὐ-
τὸν (αὐτὴν E) καὶ τὸ (τὸν E) Χάλεπ ἐπόρθησεν CE 15 σημείωσαι E

1 καὶ ante μεγ. om. D 4 ἡ D, οἱ corr. Dw κατεσχέθησαν
Ewp 9 χωρήσειν ante κατὰ B 10 οὖν Ewp τούτῳ om. O
post συστ. add. αὐτῷ O 11 Βέροιαν w*p invitis AR Cedr.
(Scylitz.) II p. 344, 18 13 δοριαλώτους *Di*, v. ad XIII 8, 3
οὐκ εὐαριθμήτους Awp, οὐκ εὐαρίθμους E (quod coniectura ex
§ 11 recte correxit *Wo*), οὐ ῥᾶον ἀριθμητοὺς (ἀριθμήτους D) O
15 τοῦ AE, τούτου τοῦ O, οὗτος τοῦ w*p 16 αὐτὸν D, τὸν corr.
Dw 17 ἔρεσθαι AEBs, ἐρέσθαι Rs*Di*, v. Goettlingium *Allg.
Lehre v. Accent* cet. Ien. 1835 p. 58 ann. 3

12 aegre elapso. Leo igitur reversus honorifice exceptus est et ob
13 victoriam triumpho ornatus. Deprehensis consiliis contra impe-
ratorem initis, auctores et conscii comprehensi, non tamen cru-
deliter puniti sunt.
14 Phocas autem Nicephorus magister e Creta revocatus non
situs est recurrere Byzantium, sed cum omni exercitu in Orien-
tem ire iussus; nam altera illius Chamdan impressio exspecta-
15 batur. Profectus igitur in Syriam pugnaque commissa hostes
illustri victoria superavit et Berroea praeter arcem vastata ma-
ximis divitiis est potitus et copiis paene innumeris et multos
Christianos vinctos liberavit.
16 Romanus initio imperii sui Agarenis omnes provincias va-
stantibus, animo aestuans Phocam Nicephorum rogasse fertur,

V 74 *τοῦτον πῶς εἰς τὸ κατόπιν Ῥωμαίοις περιηνέχθη τὰ πράγματα. τὸν δὲ μηδὲν ὑποστειλάμενον ἐλευθέρῳ φάναι φρονήματι "διότι* 17 *σὺ μὲν βασιλεύεις, ὁ δ' ἐμὸς πατὴρ στρατάρχεῖ, σὺ μὲν τῆς ἀρχῆς οὐχ ὡς δέον ἐπειλημμένος, ἐκεῖνος δὲ φιλοχρηματῶν.*
5 *εἰ βούλοιο δέ, μεταβληθήσονται Ῥωμαίοις καὶ τὰ φρονήματα* 18 *καὶ τὰ πράγματα, πλὴν μὴ ἀθρόαν οἷον ἔσεσθαι τὴν μεταβολήν." ὁ δὲ βασιλεὺς τούτων ἀκούσας ἐπέτρεπεν αὐτῷ μετα-* 19 D *χειρίσασθαι τὴν πρᾶξιν ὡς βούλεται· καὶ ὃς αὐτίκα ἐπεμελεῖτο* 20 *τοῦ ὁπλιτικοῦ τό τε ὂν διατάσσων καὶ ἄλλο ἐγκαταλέγων καὶ*
10 *γυμνάζων εἰς ἅπαν στρατιωτικὸν ἐπιτήδευμα. καὶ οὕτως τὰς* 21 *τάξεις ἀναπληρώσας καὶ καθοπλίσας τοὺς βωλοκόπους καὶ τὸ προφητικὸν αὐτοῖς ἀντίρροπον θέμενος, εἰς μαχαίρας αὐτοῖς δηλαδὴ συγκόψας τὰ δρέπανα καὶ εἰς ζιβύνας τὰ ἄροτρα σὺν αὐτοῖς τὰ θρυλλούμενα ῥᾳδίως ἔστησε τρόπαια.*
15 *Τρισὶ δ' ἔτεσι διαπεττεύσας τὴν βασιλείαν ὁ Ῥωμανὸς καὶ* 22 *μικρὸν ἐπέκεινα μετέστη τῆς ἐνταῦθα ζωῆς, ἢ φαρμάκῳ δηλητηρίῳ κατά τινας ἢ φιληδονίαις καὶ μίξεσιν ἑαυτὸν κατατείνας*

15 *τελευτὴ τοῦ βασιλέως Ῥωμανοῦ τοῦ παιδίου* (*τ. παιδ.* om. C) CE

1 *τοῦτον* del. Dw *περιήχθη ῥωμαίοις* D 2 *φᾶναι* B[s]CEwp 3 *πατὴρ στρατάρχεῖ*] v. Hirschium *Byz. Stud* Lips. 1876 p. 391 6 *πλὴν μὴ ἀθρόαν* (*ἀθρόον* BC) ARwp, *ἀπλὴν μ—, κ*ʹ (punctis notatum) *ἀδροον* D *οἷου* D, corr. Dw *γενήσεσθαι* Rwp 8 *ἐπεμέλητο* E 10 *οὕτως* AO, *οὕτω* Ewp*Di*, v. ad XIII 6, 16 11 *πράξεις* D, corr. Dw *καὶ* ante *καθ.* om. D, suppl. Dw 12 *προφητικὸν*] Ioël III (IV) 10 *αὐτοῖς* om. O 13 post *συγκ.* add. *σφίσι* BC (non D) *ζιβύνας ...... σὺν* C 14 *θρηλ|λούμενα* A, *θρυλλούμενα* RDwwp, *θρηλούμενα* D, *θρυλούμενα Di*, sed v. Guilelmum Dindorfium in Steph. thes. vol. IV p. 430 C 15 *διαπετεύσας* D, corr. Dw 16 *μικρόν* | A, *μικρόν τι* Rwp, dubito an *τι* sit recipiendum 17 *κατὰ τείνας* D

qui fieret, ut Romana res ita pessum iret. Cui ille magna liber- 17 tate "Ideo fit" inquit, "quod tu regnas et pater meus exercitum ducit; nam et tu imperium perperam administras et ille pecuniae studet. Verum si tu volueris, et animi et res Romanorum muta- 18 buntur; eam tamen mutationem noli putare fore subitam." His 19 dictis a rege iussus rem suo arbitratu administrare statim exer- 20 citui animum intendit et legiones veteres ordinavit et novas conscripsit et omnibus bellicis studiis eas exercuit. Sic cohortibus 21 expletis et fossoribus armatis, simili prophetico dicto inita ratione, falcibus in gladios et aratris in iacula conflatis, claros illos triumphos cum iis facile est adeptus.

Romanus autem cum triennium et ultra regno insultasset, 22 ex hac vita decessit, vel, ut quidam tradunt, veneno hausto, vel

καὶ ταύταις δαπανήσας τὴν ἰσχὺν τοῦ σαρκίου, τὴν βασιλείαν λιπὼν τοῖς υἱοῖς ἀμφοῖν καὶ τῇ τούτων μητρὶ Θεοφανοῖ.

23 *Τοῦ δὲ Ῥωμανοῦ θανόντος ὁ Φωκᾶς Νικηφόρος κελεύσει* P II 198 A *τῆς βασιλίσσης ἧκεν εἰς τὸ Βυζάντιον καὶ κατήγαγε θρίαμβον ἐπὶ τοῖς ἐκ Βερροίας κεκομισμένοις λαφύροις, ὅθεν καί τι μέρος* 5 24 *τῆς τιμίας ἐσθῆτος τοῦ βαπτιστοῦ Ἰωάννου ἐκόμισε. τὸν Βρίγγαν δὲ αὐτὸν ὑφορώμενον ὡς βασιλειῶντα κατεσοφίσατο οὕτως.* 25 *σὺν ἑνὶ τῶν θεραπόντων ἑσπέρας κατέλαβε τὴν κατοικίαν αὐτοῦ καὶ ἰδιαίτατα τὸν Βρίγγαν παραλαβὼν δι' ἔρωτος εἶναι αὐτῷ πρὸ μακροῦ τὴν μοναδικὴν βιοτὴν ὅρκοις ἐβεβαίου καὶ παλα-* D I 26 *μναιοτάταις ἀραῖς. καί "πάλαι ἄν" ἔλεγε "πρὸς ταύτην ὡρμή-* 27 *κειν, εἰ μή με τῶν βασιλέων ἡ χρηστὴ ἐπέσχε διάθεσις. μὴ οὖν μάτην ὑπόπτευε κατ' ἐμοῦ ὡς τῆς βασιλείας ἔρωτα τρέφοντος· ἐγὼ γὰρ ὅσον ἤδη καὶ τῶν πραγμάτων ἐκστήσομαι."* W III 159 B 28 *καὶ τοῖς λόγοις πίστιν ἐδίδου, δείξας αὐτῷ ῥάκος τι τρίχινον,* 15 *ὃ ἐν χρῷ περιέκειτο, τῇ ἔξωθεν αὐτοῦ περιβολῇ καλυπτόμενον.* 29 *τούτοις τοῖς λόγοις καὶ τῷ τριχίνῳ ἐσθήματι τὸν παρακοιμώ-*

3 *ὅπως ὁ Φωκᾶς Νικηφόρος* (om. C) *βασιλειᾶν* (om. E) *ὑποπτευόμενος, κατεσοφίσατο τὸν Βρίγγαν τὸν παρακοιμώμενον* (*τ. παραχ. βρίγγαν* C) CE

1 *ἐκδαπανήσας* Owp *ἰσχὺν* post *σαρκίου* O 2 *ἀμφοῖν* post *λιπὼν* O post *μητρὶ* add. *τῇ* BCwp 5 *κεκοσμισμένοις* D 7 *αὐτὸν* om. E, *αὐτὸν* ante *ὡς* Owp *ἐσοφίσατο* D *οὕτω* Ewp*Di*, v. ad XIII 6, 16 et *B-W* Fleckeis. annal. 1889 p. 136 ann. 6 12 *ἡ χρηστὴ ἐπέσχε* AE, *ἐπέσχεν ἡ χρηστὴ πρός με* O, *ἡ χρηστὴ πρός με ἐπέσχε* (*ἐπήσχε* p*) w*p 13 *γοῦν* Ewp *στρέφοντος* p* 16 post *τῇ* add. *δ'* Ewp *αὐτοῦ* om. D *καλυπτόμενον* ARw, *κατακυπτόμενον* p* (voluit *κατακρυπτόμενον*), perperam Hasius ad Leon. Diac. p. 426

voluptatibus et libidine viribus corporis exhaustis, regno utrique filio et matri eorum Theophanoni relicto.

23 Romano mortuo Phocas Nicephorus ab regina Byzantium arcessitus de manubiis Berroeanis triumphavit; unde etiam partem quandam venerabilis vestis Ioannis baptistae apportavit. 24 Bringam autem, cui de cupiditate regni suspectus erat, sic elusit. 25 Cum uno famulo vesperi aedes eius ingressus eoque in secretum locum ducto, iureiurando et diris exsecrationibus confirmavit so- 26 litariae vitae se iam diu fuisse cupidissimum eamque iampridem fuisse amplexurum, nisi regum se benevolentia remorata esset. 27 Non igitur frustra suspectum se esse debere de regni cupiditate; 28 se enim iamiam rerum administratione cessurum. Ea verba confirmabat ostensa veste e pilis contexta, quam nudo corpore ceteris vestibus tectam gestabat. 29 Ea oratione et hac veste e pilis

μενον συναρπάσας ἔσχε τῶν ποδῶν αὐτοῦ προκυλινδούμενον ὁ Φωκᾶς καὶ συγγνώμην αἰτοῦντα. καὶ ὁ βασιλεὺς δὲ Στέ- 30 φανος ὁ τοῦ Λακαπηνοῦ ἐν Λέσβῳ τηρούμενος κατὰ Μήθυμναν ὕποπτος ἦν· αἰφνίδιον δὲ καὶ ἐξ οὐδεμιᾶς φανερᾶς αἰτίας
5 θανὼν ὑποψίαν δέδωκε παρὰ τῆς βασιλίσσης κατεργασθῆναι Θεοφανοῦς.

Ὁ μέντοι τῶν Βουλγάρων ἀρχηγετῶν Πέτρος, τῆς γυναικὸς 31 αὐτοῦ θανούσης, τὰς πρὸς Ῥωμαίους ἀνακαινίζων σπονδὰς ὁμήρους παρέσχε δύο οἰκείους υἱοὺς Βορίσην καὶ Ῥωμανόν· καὶ
10 ὁ μὲν ἀπεβίω, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν ἐλάθησαν εἰς τὰ οἰκεῖα καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. ἑνὸς γὰρ τῶν 32 C κομήτων τῶν ἐν Βουλγάροις τέσσαρες παῖδες, Δαβίδ, Μωσῆς, Ἀαρών, Σαμουήλ, ἀποστατήσαντες τοὺς Βουλγάρους ἀνέσειον. τοῦ Φωκᾶ δὲ Νικηφόρου εἰς τὸν οἶκον ἑαυτοῦ τὸν ἐν Καππα- 33
15 δοκίᾳ ἀποδημήσαντος ὁ παρακοιμώμενος μετεμέλετο, ὅτι παρεχώρησεν αὐτῷ τῆς ἐπ' οἶκον ἀποδημίας· καὶ ἦν αὐτῷ διὰ φροντίδος ὅτι πολλῆς τὸν ἄνδρα ἀποσκευάσασθαι. γράφει τοί- 34

7 ὅτι θανόντος τοῦ τῶν Βουλγάρων ἄρχοντος Πέτρου οἱ κομητόπωλοι (κομητόπολοι E, κομητο^{πλ} C, v. cod. Coislin. Cedr. (Scylitz.) II p. 347, 3 et ad Zonar. XVII 6, 2) ἀπεστάτησαν CE

3 ante ἐν add. παῖς Owp μίθυμναν AD, corr. Dw, Μηθύμναν p* 4 φανερᾶς om. D οὐδ. αἰτίας φανερῶς C 8 σποδὰς D, corr. Dw 9 ante δύο add. τοὺς D βορίσην καὶ ῥωμανόν, καὶ AEwp, ὧν ὁ μὲν βορίσης, ὁ δὲ ῥωμανὸς ὠνομάζοντο. εἶτα O 12 κομήτων RDwwp*Di*, κομίτων A, κομ*τῶν (post μ exarata est littera quaedam non iam perspicua, neque tamen ι) D, v. ad XVII 6, 2 12. 13 δαβὶδ καὶ μωσῆς καὶ ἀαρὼν καὶ σαμουὴλ Ewp, δαβὶδ καὶ μωσῆς (μωυσῆς B) ἀαρών τε καὶ σαμουὴλ O 14 τὸν ἐν Rwp*Di*, τῶν ἐν AD 15. 16 ὅτι παρ. αὐτῷ om. C 16 οἴκου CDEwp 17 ὅτι πολλῆς om. D

facta Phocas effecit, ut cubiculi praefectus pedibus suis advolutus veniam peteret. Ceterum rex Stephanus, Lacapeni filius, qui Me- 30 thymnae, in urbe Lesbi, custodiebatur, suspectus erat; subito autem nullaque causa mortuus a regina Theophanone sublatus esse credebatur.

At Petrus, Bulgarorum princeps, uxore sua mortua foedus 31 cum Romanis renovaturus filios Borisem et Romanum Byzantium obsides misit, quibus post illius obitum permissum est, ut ad sua se reciperent et paternum principatum firmarent. Nam comitis 32 cuiusdam Bulgarici quattuor filii, David, Moses, Aaron, Samuel Bulgaros ad defectionem sollicitabant. Cum autem Phocas Nice- 33

νυν πρὸς Ἰωάννην μάγιστρον τὸν Τζιμισκήν, ἄνδρα γενναῖον
καὶ ἐν ἀριστεύμασι διαβόητον, στρατηγοῦντα τότε τοῦ θέματος
τῶν ἀνατολικῶν, καὶ πρὸς τὸν μάγιστρον Ῥωμανὸν τὸν Κουρ-
κούαν, ἐπίσημον ὄντα κἀκεῖνον ἐν στρατηγήμασι καὶ τῆς ἀνα- D IV
τολῆς τότε στρατηλατοῦντα, ὡς εἰ τὸν Φωκᾶν κατασχόντες ἢ 5
D μοναχὸν ἀποκείρουσιν ἢ ἄλλως ἐκ μέσου ποιήσουσι, τὴν μὲν
τῶν σχολῶν τῆς ἀνατολῆς ἀρχὴν λήψεται ὁ Ἰωάννης καὶ δο-
μέστικος ἔσεται τῶν ἑῴων δυνάμεων, ὁ Ῥωμανὸς δὲ τῆς δύ-
35 σεως κληθήσεται δομέστικος. ἐπεὶ δὲ τὰ γράμματα καὶ ἀμφοῖν
ἐκομίσθησαν, καὶ ἄμφω ταῦτα δεικνύουσι τῷ Φωκᾷ καὶ πρὸς 10
36 ἀποστασίαν ἠρέθιζον. τοῦ δὲ ἀναδυομένου πρὸς τὴν ἐγχείρησιν,
εἴτε πλαττομένου εἴτε καὶ ἀληθεύοντος, ἐκεῖνοι τὰ ξίφη γυμνώ-
37 σαντες ἀνελεῖν ἠπείλουν αὐτόν, εἰ μὴ πείθοιτο. καὶ ὃς τῇ βίᾳ
τάχα νικώμενος ἐδέξατο τὴν ἀνάρρησιν καὶ ὑπὸ πάντων τῶν

9 ὅπως ὁ Φωκᾶς βασιλεὺς ἀνερρήθη CE

1 τζιμισκὴν A, τζιμισκῆν Rwp*Di*, v. ad XVII 1, 1   1—3 τὸν Τζιμι-σκὴν—ἀνατολικῶν om. D *Wo* lat.   4 ἀνατολῆς] v. Schlumbergerum *Un emper. Byzant. au Xième siècle. Niceph. Phocas*. Paris. 1890 p. 278   6 ἀποκείρουσιν Rwp*Di*, ἀποκείρουσι A (v. ad XIII 1, 5), ἀποκείρωσι D   ποιήσωσι D   8 ἔσται Ewp*Di*; Zonara modo ἔσεται (I p. 102, 8. 153, 4. 266, 10. II p. 91, 18. 302, 4 cet.) modo ἔσται (I p. 72, 7. 103, 8. 104, 5. 141, 12. 159, 3. 273, 4. 5. 325, 9 cet.) adhibente, nos optimum codicem secuti et I p. 68, 9 ex libro A revocamus ἔσται et hoc loco ex AO restituimus ἔσεται. 8. 9 τῆς δύσεως κληθήσεται δομέστικος Ewp*Di*, τ. δύσ. κλήσεως κληθήσεται δομέστικος A, δομέστικος τ. δύσ. προβληθήσεται O   9 post γράμματα add. ταῦτα O   10 ταῦτα AEwp, αὐτὰ O   11 ante ἠρέθιζον add. τὸν ἄνδρα Owp   12 εἴτε πλ. p*   post πλαττ. add. τοῦτο Rwp   13 αὐτὸν Rwp*Di*, αὐτῷ et αὐτὸν per dittogr. A 14 τάχα] ταύτῃ D*Wo* lat.

phorus se domum in Cappadociam contulisset, cubiculi praefectum
34 id ei concessisse paenituit; de eo igitur amovendo sollicitus scribit
ad Ioannem magistrum Tzimiscem, virum optimum et fortissimum,
qui praeerat Orientalibus, et ad magistrum Romanum Curcuam,
illustrem in re militari virum et Orientis ducem, si Phocam com-
prehensum vel monachum totonderint vel aliter e medio sustu-
lerint, Ioannem imperio scholarum Orientis accepto domesticum
fore orientalium copiarum, Romanum vero domesticum Occidentis
35 designatum iri. Eas litteras ad se perlatas uterque Phocae osten-
36 dit et ad defectionem incitat. Tergiversanti et sive ex animo
sive simulate detrectanti illi strictis gladiis necem minitantur, nisi
37 obtemperet. Necessitate igitur, ut opinor, victus non repugnavit,
quin ab omnibus orientalibus copiis imperator Romanorum appella-

ἑῴων ταγμάτων αὐτοκράτωρ εὐφημήθη Ῥωμαίων. λέγεται δὲ 38 P II 199 A
ὅτι οὐ μόνον ἤρα τῆς βασιλείας, ἀλλ' οὐχ ἥκιστα καὶ τῆς Θεο-
φανοῦς, καὶ ὡς ἐνέτυχε ταύτῃ διάγων κατὰ τὴν μεγαλόπολιν.
Ἄρτι δὲ τῆς φήμης εἰς τὸ Βυζάντιον κηρυξάσης τὰ κατὰ 24
5 τὸν Φωκᾶν, ὁ παρακοιμώμενος Ἰωσὴφ ἠγωνία. ὁ μέντοι τοῦ 2
τυραννοῦντος πατὴρ ὁ Φωκᾶς Βάρδας τῇ μεγάλῃ τοῦ θεοῦ
ἐκκλησίᾳ προσπέφευγεν. ὁ δὲ τοῦ Νικηφόρου σύγγονος Λέων 3
ἴσχυσεν ἀποδρᾶναι καὶ ἑνωθῆναι τῷ ἀδελφῷ. τοῦτο τὸν παρα- 4
κοιμώμενον εἰς ἀμηχανίαν πολλὴν περιέστησε· δυσέντευκτος δὲ 5
10 ὢν πᾶσιν ἦν μισητός, ὅθεν ἅπαντες ἔχαιρον, εἰ τὰ τῆς βασι- B
λείας περισταίη εἰς ἕτερον καὶ περιαιρεθείη οὗτος ἐκ μέσου·
διὸ καὶ συνέτρεχον ἅπαντες εἰς τὸ μέγα τέμενος τοῦ θεοῦ.
ὅπερ μαθὼν ὁ Βρίγγας, δέον ἐπιεικέσι λόγοις τὸ πλῆθος μετελ- 6
θόντα τὴν τούτου καταμαλάξαι ὁρμήν, ὁ δὲ ἀπειλαῖς μᾶλλον
15 αὐτὸ ἐξετράχυνεν, εἰπὼν ὡς "ἐγὼ καταπαύσω αὐτοῖς τὰ ὁρμή-
77 ματα, οἰκονομήσας ὠνουμένους αὐτοὺς σῖτον εἰς τὸν ἑαυτοῦ
κόλπον φέρειν τὸν τοῦ νομίσματος ἕκαστον." τοῦτο τὸ πλῆθος 7

4 *βασιλεία Νικηφόρου τοῦ Φωκᾶ* (*τ. φ. νικηφ.* A, *νικ. τ. φουκά* B) AR
13 *οἷα ὁ Βρίγγας ἠπείλησε τῷ δήμῳ παντί* (om.) CE

1 *εὐφημήθη ῥωμ. αὐτοκρ.* C *εὐφ.*] *ἐτιμήθη* D 3 *καὶ* om. Rwp *μεγάλην πόλιν* Ewp, v. ad XVI 20, 4 6 *τυραννοῦντος* AEwp, *νικηφόρου* O*Wo* lat. ante *βάρδας* add. *ὁ* Ewp *μεγάλῃ* post *θεοῦ* O 7 *ὁ τ. νικηφόρου δὲ σύγγονος* Ewp, *ὁ δ' ἕτερος τούτου υἱὸς ὁ* O*Wo* lat. 8 *ἀποδρᾶναι* EB^{s}wp*Di*, *ἀποδράναι* AR 10. 11 *περισταίη* ante *τὰ* Rwp 15 post *αὐτὸ* add. *καὶ* (om. D, suppl. D_w) *τραχύτησιν* Rwp, quae iam Hasius ad Leon. Diac. p. 432 C delet *παύσω* D *αὐτοῖς* Rwp*Di*, *αὐτῆς* A 17 *τὸν τοῦ* AR, *τὸ τοῦ* $D_w$wp *τὸ πλῆθος* AE, *ἀκουσθὲν τὸ πλῆθος* O, *τὸ πλῆθος ἀκουσθὲν* w*p*Di*

retur. Fertur autem non regni tantum, sed et Theophanonis 38
amore imprimis flagrasse et cum in magna urbe degeret, cum
ea rem habuisse.

24. PHOCAE rebus Byzantium nuntiatis, Iosephus, cubicu-
larii praepositus, angebatur. Tyranni vero pater, Phocas Bardas, 2
in magnam dei ecclesiam confugit; Nicephori frater Leo fuga 3
elapsus cum fratre se coniungit. Haec in magnas angustias ad- 4
duxerunt cubiculi praepositum, qui ob morositatem omnibus tam 5
invisus erat, ut cuperent eum, alio rerum potito, e medio tolli,
eaque de causa in magnum dei templum concurrerunt. Quo 6
Bringas cognito, cum blandis verbis demulcendus esset multitu-
dinis impetus, eam minis magis exasperavit, cum diceret se mo-
tum illum oppressurum esse ordinantem, ut singuli, quod numi-
smate emitur frumenti, in suo sinu possent portare. Ita populus 7

8 ἐξέμηνεν. ἀπεχθῶς δὲ πρὸς τοῦτον τὸν Βρίγγαν ἔχων ὁ πρῴην
παρακοιμώμενος ὁ Βασίλειος καὶ θεραπείαν ἔχων περὶ ἑαυτὸν
C δαψιλῆ, ἑσπέρας ἤδη καταλαβούσης, τοὺς ἑαυτοῦ θεράποντας
καθοπλίσας εἰς διάφορα μέρη τῆς πόλεως ἐξαπέστειλε, καὶ
πολλὰς οἰκίας ἐκεῖνοι πλήθει ἀστικῶν ἑνωθέντες τῶν ἀντιπρατ- 5
τόντων κατέστρεψαν καὶ αὐτοῦ δῆτα τοῦ Βρίγγα, καὶ ἄνθρωποι
W III 160 9 δὲ πολλοὶ ἀνηρέθησαν. ταῦτα δ' ἐποίουν καὶ ἅμα Νικηφόρον
εὐφήμουν πανταχοῦ αὐτοκράτορα. ἐντεῦθεν ἀμείβονται τὰ τῆς
10 τύχης τῷ Βάρδᾳ Φωκᾷ καὶ τῷ Βρίγγᾳ. ὁ μὲν γὰρ τεθαρρη-
κὼς ἐξῄει τῆς ἐκκλησίας, ὁ δὲ Βρίγγας εἰς αὐτὴν εἰσῄει ἱκέτης 10
11 ἐλεεινός. ὁ δὲ παρακοιμώμενος Βασίλειος καὶ οἱ περὶ αὐτὸν
τριήρεις ἑτοιμάσαντες καὶ αὐτὴν τὴν βασίλειον καὶ σὺν αὐταῖς
ἐν Χρυσοπόλει γενόμενοι, τὸν Νικηφόρον ἐκεῖθεν εἰς τὸ Ἕβδο-
D μον ἄγουσι κἀκεῖθεν σὺν προόδῳ δημοτελεῖ εἰς τὴν μεγάλην
ἐκκλησίαν ἀφίκοντο, καὶ ταινιοῖ τὸν ἄνδρα ὁ πατριάρχης Πο- 15
12 λύευκτος. ἡ δὲ βασιλὶς Θεοφανὼ αὐτίκα τῶν ἀνακτόρων ἐξ-

1 ὅτι ὁ παρακοιμώμενος Βασίλειος λαὸν ἀπέστειλε καὶ τὴν τοῦ Βρίγγα οἰκίαν κατέστρεψε καὶ ἄλλων C 8 ὅτι ὁ Βρίγγας εἰς τὴν μεγάλην ἐκκλησίαν κατέφυγεν· ὁ δὲ τοῦ Φωκᾶ πατὴρ ἐκεῖθεν ἐξῆλθεν E 11 ὅτι ἐστέφθη παρὰ τοῦ πατριάρχου ὁ Φωκᾶς CE

1 τοῦτον AR, τοῦτο w*p ante τὸν add. δὴ Rwp 1. 2 ὁ πρὶν παρακ. βασίλειος ἔχων D 2 ὁ om. B αὐτὸν D 4 κατοπλίσας D 5 ἀστικῷ O, ἀστυκῷ Dw, ἀστυκῶν wp 6 κατέτρεψαν | D, corr. Dw 8. 9 ἀμείβονται post βρίγγα O 9 ὁ μὲν γὰρ AO, καὶ ὁ μὲν Ewp τεθαρρηκῶς D, corr. Dw 10 εἰσῄει] ἀντεισῄει (Rw)p 11 ὁ δὲ παρακ. βασ. AEDwwp, ὁ παρακ. δὲ βασ. O 12 ἑτοιμάσαντες p* 16 ἐξωθηθεῖσα RDi, ἐξωθεῖσα A, ἐξωσθεῖσα (θησ) EDwwp, om. D

8 furore incenditur. Basilius autem, quondam cubiculi praefectus, Bringae infensus, cum magnum comitatum circum se haberet, ubi advesperavit, ministros suos armatos in diversa urbis loca dimisit, qui coniuncti cum multitudine urbana adversariorum aedes et ipsius etiam Bringae everterunt, multis etiam interfectis.
9 Quae dum faciunt, Nicephorum undique proclamabant impera-
10 torem. Unde fortuna Bardae et Bringae commutata est; nam ille recepto animo ecclesiam egressus, hic supplex et miserabilis
11 ingressus est. At Basilius, cubiculi praepositus, cum suis classe instructa, ipsa etiam regia nave adducta, Chrysopolim profecti Nicephorum inde in Hebdomum, ex Hebdomo, universo populo prosequente, in magnam ecclesiam perduxerunt, ubi a patriarcha
12 Polyeucto corona est ornatus. Ceterum regina Theophano statim

ωθηθεῖσα εἰς τὸ Πετρίον ἀπάγεται· ὁ δὲ παρακοιμώμενος Ἰωσὴφ
εἰς Παφλαγονίαν περιορίζεται καὶ μετὰ δύο ἐνιαυτοὺς ἀπεβίω.
Βάρδας δὲ ὁ τοῦ Νικηφόρου πατὴρ Καῖσαρ τετίμητο. μετ' 13. 14
ὀλίγας δὲ ἡμέρας ἑαυτῷ τὴν Θεοφανὼ συνοικίζει ὁ βασιλεύς,
5 καὶ κρεῶν ἀπεχόμενος, ἐξότου Βάρδας ὁ παῖς αὐτοῦ τῷ οἰκείῳ
ἀνεψιῷ τῷ Πλεύσῃ προσπαίζων δόρατι παρ' ἐκείνου βληθεὶς
ἄκοντος τέθνηκεν, ἔκτοτε καὶ τούτοις ἐτρέφετο. ἐν δὲ τῇ κατὰ 15 P II 200 A
τὰ βασίλεια Νέᾳ ἐκκλησίᾳ τῆς ἱερολογίας τῆς γαμικῆς τελου-
78 μένης παρὰ Πολυεύκτου τοῦ πατριάρχου ἐν τῇ εἰσόδῳ τῇ πρὸς
10 τὸ θυσιαστήριον ἤδη ταῖς κιγκλίσιν ἐγγίσας ὁ βασιλεὺς ἐκωλύθη
παρὰ τοῦ πατριάρχου συνεισελθεῖν, ὡς ἔθος αὐτῷ, φήσαντος
εἰ μὴ πρότερον ἐπιτιμίοις δουλεύσει τῶν δευτερογαμούντων,
μὴ δεῖν αὐτὸν τῆς πρὸς τὸ θυσιαστήριον εἰσόδου κατατολμᾶν.
τοῦτο δυσφόρως ἤνεγκεν ὁ κρατῶν καὶ ἐμηνία τῷ πατριάρχῃ. 16
15 ἐγένετο δέ τις καὶ λόγος, δι' ὃν οὐδ' ἐπιβῆναι αὐτὸν ὅλως τοῦ 17
ἱεροῦ δαπέδου συνεχώρει ὁ πατριάρχης· ἐλέγετο γὰρ ἀνάδοχος 18
γενέσθαι ὁ Νικηφόρος τῶν τῆς Θεοφανοῦς παίδων ἐκ τοῦ

3 ὅτι συνεμίγη ὁ βασιλεὺς τῇ Θεοφανοῖ CE 7 ὅτι ἐκωλύθη ὁ βασιλεὺς παρὰ τοῦ πατριάρχου ἐπιβῆναι τοῦ θυσιαστηρίου CE

1 Πέτριον p* ὁ δὲ AEwp, καὶ ὁ O 4 δὲ AEDwwp, μέντοι O θεοφανῶ (sic) AE, ut XVI 25, 1 6 πλευ (σ/) E 8 τὰ om. D, suppl. Dw 9 τοῦ om. D τῇ ante εἰσ. om. B 12 δουλεύσῃ E(wp) 13 πρὸς om. B κατολμᾶν | D 15 post τις add. μετὰ ταῦτα Owp 15. 16 οὐδὲ τοῦ ἱεροῦ δαπέδου ὅλως ἐπιβῆναι αὐτὸν συνεχώρει ὁ πατριάρχης O 17 τῶν] τὸν D θεοφανοῦ w*p invitis AR ἑνὸς παίδων Cedr. (Scylitz.) II p. 352, 10; amat Zonaras res quodammodo extollere in maius (v. *B-W* comment. Fleckeis. p. 135 s.)

ex regia pulsa in Petrium abducitur; Iosephus, cubiculi praepositus, in Paphlagoniam relegatus biennio post moritur. Bardas 13 vero, Nicephori pater, Caesar salutatur; Theophano paucis die- 14 bus elapsis regi nubit, qui cum ex eo tempore, quo filius Bardas inter colludendum a patrueli Pleuse casu hasta interfectus erat, carnibus abstinuisset, tum iis coepit denuo vesci. Cum autem 15 Polyeuctus patriarcha in Nova palatii ecclesia nuptialia sacra perageret et rex in sacrarii aditu cancellis iam appropinquaret, non passus eum patriarcha de more secum ingredi dixit non debere tam confidentem esse, ut sacrarium intraret, nisi prius poenas subiret repetiti matrimonii. Eam rem aegre ferens imperator 16 patriarchae irascebatur. Sed deinde rumore vulgato eum etiam 17. 18 Theophanonis liberos e sacro baptismate suscepisse, ab eodem

B ἁγίου βαπτίσματος, καὶ ἀπῄτει ὁ πατριάρχης ἢ διαζυγῆναι τῆς
19 βασιλίσσης ἢ πόρρω εἶναι τῶν ἱερῶν. ἀλλ' ἐκεῖνος τῆς Θεο-
φανοῦς οὐκ ἀπείχετο· ἔτι γὰρ ὁ ταύτης ἔρως ἐφλέγμαινε, κοι-
νοῦται τοίνυν τοῖς παροῦσι τῶν ἀρχιερέων καὶ τοῖς τῆς γερου-
20 σίας λογιωτέροις τὸ ζήτημα. οἱ δὲ τὸν περὶ τούτου κανόνα 5
τῷ Κοπρωνύμῳ ἐπιγραφόμενοι μὴ δεῖν ἔλεγον ἐνεργὸν λογί-
ζεσθαι τοιοῦδε ἀνδρὸς νομοθέτημα, καὶ πάντες αὐτῷ ἔγγραφον
21 παρέσχον τὴν περὶ τούτου συγχώρησιν. ὁ δέ γε πατριάρχης
ἔτι τῆς οἰκείας ἐνστάσεως εἴχετο, μέχρις οὗ ὁ τοῦ βασιλέως
πατὴρ ὁ Καῖσαρ Βάρδας ἐνόρκους αὐτῷ πίστεις παρέσχετο ὡς 10
οὐ γέγονεν ὁ βασιλεὺς τῶν τῆς Θεοφανοῦς παίδων ἀνάδοχος,
καὶ ὁ πρωτοπαπᾶς δὲ τῶν βασιλείων Στυλιανός, ὃς ἐλέγετο
C πρῶτος κῆρυξ τῆς φήμης ταύτης γενέσθαι, ἐπὶ συνόδου μήτ'
22 ἰδεῖν μήτ' εἰπεῖν περὶ τούτου πρός τινας ἐξωμόσατο. τούτων
δὲ γενομένων ἐδέξατο τὸν Νικηφόρον ὁ πατριάρχης. 15

23 Τῶν δ' ἐν Σικελίᾳ Σαρακηνῶν δασμὸν πραττόντων ἐκ
τῶν Ῥωμαίων ἐκ παλαιῶν συνθηκῶν, ὁ βασιλεὺς οὗτος οὐκ
ἀνασχετὸν ᾤετο αὐτοῦ βασιλεύοντος τοῖς Ἀγαρηνοῖς Ῥωμαίους
24 φορολογεῖσθαι· διὸ κατ' αὐτῶν ἐκπέμπει Μανουὴλ πατρίκιον, D IV

16 περὶ τῶν ἐν Σικελίᾳ Ἀγαρηνῶν CE

4 τοίνυν ACD, om. R, δὲ w*p 7 τοιούτου B 8 περιέσχον | D
10 πατὴρ] πρ̄ὴ E καίσαρ ARwp, corr. *Di* 12 πρωτοπαπᾶς al.
man. corr. ex πρωτοπαπὰς B, πρωτοπαπὰς Ewp στυλιανὸς ABC
Cedr. (Scylitz.) II p. 352 20, στυλειανὸς Rwp 12. 13 πρῶτος ἐλέ-
γετο C 13 κήρυξ EBswp μήτ'] μέτ' E 13. 14 μήτ' ἰδεῖν
om. C 15. 16 πατριάρχης .... | τῶν .... δ' ἐν κτλ. A
16 δ' ἐσι|κελία C 18 σαραχηνοῖς D 19 κατὰ D

patriarcha ecclesiae liminibus est prohibitus postulante, ut aut
19 divortium faceret aut procul a sacris facesseret. Neque vero
ille Theophanone abstinuit, flagrante adhuc amore, sed quae-
20 stionem ad summos sacerdotes et senatus principes rettulit, qui
responderunt eum canonem a Copronymo, homine impio, consti-
tutum valere non oportere, scriptoque ratum eius matrimonium
21 habuerunt. Sed patriarcha suum propositum premebat, donec
regis pater Caesar Bardas iureiurando negavit Theophanonis
liberos ab illo ex baptismate susceptos esse et Stylianus, palatii
protopapa, qui eum rumorem primus vulgasse ferebatur, se ea
de re neque vidisse quicquam nec dixisse ad quemquam in con-
22 cilio iuravit. His demum factis patriarcha Nicephorum recepit.
23 Cum autem Sicilienses Saraceni ex antiquis pactis tributum
a Romanis postularent, hic rex non ferendum esse ratus se im-
24 perante Romanos illis esse tributarios, Manuëlem patricium, pa-

νόθον ὄντα παῖδα τοῦ πατραδέλφου αὐτοῦ Λέοντος, ὃς δομέστικος γεγονὼς τῶν σχολῶν ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυραννίδι ἐπιχειρήσας ἐπηρώθη τοὺς ὀφθαλμούς. οὗτος τοίνυν ὁ 25
Μανουὴλ σὺν ναυτικῷ περιφανεῖ τῇ Σικελίᾳ προσορμισάμενος οὐ
5 μόνον οὐδέν τι κατώρθωσεν, ἀλλὰ καὶ λίαν ἐσφάλη ἐξ ἀπειρίας D
καὶ νεωτερικῆς ἀγερωχίας ἢ μᾶλλον ἀτασθαλίας· αὐτός τε γὰρ διώλετο καὶ ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικόν. καὶ τὰ μὲν κατὰ Σικελίαν συνεκύρησεν οὕτω.

Κατὰ Κιλικίας δέ (καὶ ταύτης δὲ οἱ Ἀγαρηνοὶ ἐκράτουν) 26
10 ἐκπέμπει ὁ βασιλεὺς Ἰωάννην μάγιστρον τὸν Τζιμισκήν, τῆς ἀνατολῆς προκεχειρισμένον δομέστικον. ὁ δὲ πρὸς Ἄδαναν 27
ἀφικόμενος τοῖς ἐν ταύτῃ τε συνεπλάκη Ἀγαρηνοῖς καὶ κατ' αὐτῶν ἐστήσατο τρόπαιον. κἀντεῦθεν μέγαν αὐτὸν ἡ πρότερον W III 161 2
ἐν στρατηγίαις ἡ φήμη ἐκήρυττεν.

15 Ἤδη δὲ δεύτερον ἐνιαυτὸν ἀνύων ὁ Νικηφόρος ἐν τῇ ἀρχῇ 25
αὐτὸς ἔξεισι κατὰ Κιλικίας μετὰ βαρείας χειρός, καὶ τὴν Θεοφανὼ μετὰ τῶν παίδων αὐτῆς ἐπαγόμενος. καὶ τὴν μὲν πρὸ 2 P II 201 A
τῆς Κιλικίας κατὰ τὸ Δριζίον (φρούριον δὲ τοῦτο) κατέλιπεν,

9 ὅτι ὁ Τζιμισκὴς (τζιμισκῆς CE, v. ad XVII 1, 1) κατετροπώσατο τοὺς ἐν Κιλικίᾳ Ἀγαρηνούς CE 15 ὅτι ὁ βασιλεὺς ἐν Κιλικίᾳ (ἐν κιλ. ὁ βασ. E) ἐστράτευσε καὶ πόλεις αὐτῆς εἷλεν CE

1 παῖδα om. D 2 γεγονὼς post σχολῶν CD 6 νεωτερικῆς ante ἢ CD 7 κατὰ ante μὲν D 8 συνέκυρσεν Ewp οὕτως O 9 δὲ οἱ] γὰρ οἱ O 10 τζιμισκὴν ADw, τζιμισκῆν Rwp*Di*, τζιμισχὴν D, v. ad XVII 1, 1 11 ἀνατολικῆς E 14 φημὴ w*p 15 δὲ om. B 16 λικίας C δυνάμεως B θεοφανὼ Owp*Di*, θεοφανῶ AE, v. XVI 24, 14 18 δριζίβιον Ewp, quod perperam tenet Schlumbergerus l. c. p. 425 s.

trui sui Leonis nothum filium, qui Leo cum sub priore Romano scholarum domesticus esset, ob regnum affectatum caecatus fuit, contra eos misit. Manuël igitur cum in Siciliam cum illustri 25
classe appulisset, non modo nihil memorabile gessit, sed etiam ex imperitia et iuvenili ferocia vel potius temeritate grave detrimentum accepit, ipse cum omni exercitu caesus. Atque in Sicilia res ita actae sunt.

Contra Ciliciam autem, quam et ipsam Agareni tenebant, 26
rex Ioannem magistrum Tzimiscem, Orientis domesticum designatum, ablegavit. Qui cum Adanam venisset, de eius loci Agarenis 27
triumphavit. Qua victoria celebritas nominis eius, ut strenui 28
ducis, multum aucta est.

25. Nicephorus secundo imperii sui anno ipse cum magna manu Ciliciam invadit, Theophanone quoque cum liberis adducta eaque Drizii, quod est castellum in Ciliciae aditu, collocata, 2

ἐκεῖνος δὲ τῇ Κιλικίᾳ προσβαλὼν αἱρεῖ τὴν Ἀνάβαρζαν Ῥωσόν τε καὶ Ἄδαναν (πόλεις δ' αὗται Κιλίκων), ἀλλὰ μέντοι καὶ
3 *φρούρια πλείονα. τῇ δέ γε Ταρσῷ καὶ τῇ Μόψου ἑστίᾳ οὐκ ἔκρινε προσβαλεῖν διὰ τὸν χειμῶνα ἢ τοῦ ἔρωτος αὐτὸν τῆς Θεοφανοῦς πρὸς ἐκείνην ἀνθέλκοντος· ἀπῄει γὰρ σὺν αὐτῇ* 5
4 *πρὸς Καππαδοκίαν. κἀκεῖθεν τοῦ ἔαρος ἠργμένου εἰς Κιλικίαν ἀνθυπενόστησε, καὶ αὐτὸς τὴν Μόψου ἑστίαν ἐπολιόρκει, τῇ*
5 *Ταρσῷ δὲ τὸν ἀδελφὸν ἐπέστησε Λέοντα. τῆς δὲ Μόψου ἑστίας*
B *μέσον ποταμῷ τῷ Σάρῳ διαιρουμένης, τὸ μὲν ἓν μέρος ταύτης* D IV
ἑάλω πολιορκούμενον, οἱ δ' ἐν τούτῳ Ἀγαρηνοὶ πρὸς τὸ λοιπὸν 10
μετεχώρησαν, τῷ καταλελειμμένῳ πῦρ ἐμβαλόντες· εἶτα καὶ τὸ
6 *ἕτερον ἑαλώκει, καὶ οὐδεὶς ἐκεῖθεν διέδρα. τὴν δὲ τῆς Μόψου ἑστίας ἐκπόρθησιν οἱ ἐν τῇ Ταρσῷ μαθόντες τὸν βασιλέα ἐπε-*
7 *καλέσαντο καὶ τὴν πόλιν παραδεδώκασιν. ἡμερῶν δὲ τριῶν διελθουσῶν στόλος ἐξ Αἰγύπτου τῇ Ταρσῷ βοηθήσων ἐξέπλευσε,* 15
προσοκεῖλαι δὲ τῇ χέρσῳ οὐ συγκεχώρητο· διὸ καὶ αὖθις ἀπέπλευσεν· ἀνέμων δὲ πνοαῖς βιαίαις περιπεπτωκὼς καὶ τριήρεσι
8 *Ῥωμαϊκαῖς ὁ πλείων ἀπώλετο. ὁ δὲ βασιλεὺς ἐπανέζευξεν εἰς*

18 *περὶ τῶν πυλῶν τῆς Ταρσοῦ καὶ τῆς Μοψουεστίας* CE

1 *ἀνάβαρζαν* Owp, *ἀνάβαρζον* A*Di*, v. ad XIV 5, 28 *ῥωσόν* Rwp*Di* cod. Coislin. Cedr. (Scylitz.) II p. 361, 19, *ῥοσόν* A 3. 7. 8. 12. p. 503, 2 *μοψουεστία* cet. uno vocabulo constanter Ewp*Di*, *μόψου ἑστία* cet. duobus vocabulis constanter AO Cedr. (Scylitz.) II p. 361, 21 cet.; variat igitur Zonaras inter *Μομψουεστίαν* (ad XIV 8, 16) et *Μόψου ἑστίαν* (XVIII 12, 7. 9) 4 *προβαλεῖν* E 4. 5 *αὐτὸν* ante *πρὸς* O 6 *ἀέρος* E *πρὸς* O 7 post *αὐτὸς* add. *μὲν* Rwp 9 *τῷ Σάρῳ* om. D 11 *ἐμβάλοντες* D 12 *ἐδιώκει* D, *ἑαλώκει* corr. D_w 12. 13 *ψόγου ἑστίας* D, *μόψου ἑστίας* D_w 15 *κατέπλευσε* (*κατέπλευσεν* C, *κατάπλευσε* D, corr. D_w) Rwp 17 *βιαίαις* (*βιαίοις* B) *πνοαῖς* Rwp

Anabarzam et Rosum et Adanam, eius provinciae urbes, capit
3 aliaque plura castella. Tarsum vero et Mopsuhestiam oppugnare non statuit, sive ob hiemem, sive amore avocatus erga
4 Theophanonem, quacum Cappadociam petiit. Unde vere ineunte in Ciliciam reversus, fratre Leone contra Tarsum misso,
5 ipse Mopsuhestiam obsedit, quam cum mediam flumen Sarus dividat, altera eius parte expugnata, Agareni igne iniecto in al-
6 teram se receperunt, qua et ipsa capta nemo effugit. Tarsenses quoque audita Mopsuhestiae expugnatione, regi arcessito urbem
7 tradiderunt. Triduo elapso classis Aegyptia Tarsensibus auxilio missa ad terram appellendi facultatem non habuit, eademque in reditu et ventorum procellis et Romanarum triremium incursionibus
8 maiore ex parte periit. Rex Cpolim reversus aereas Tarsi et Mopsu-

τὴν Κωνσταντινούπολιν τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μόψου ἑστίας ἐπαγόμενος ἐκ χαλκοῦ πεποιημένας καὶ τέχνης δεικνυούσας ἀκρίβειαν, ἃς κἀκεῖνος ἐπικοσμήσας τὰς μὲν τῷ C κατὰ τὴν ἀκρόπολιν ἑῴῳ τείχει προσήρμοσε, τὰς δὲ τῷ τείχει τῷ δυτικῷ. καὶ τῷ θεῷ δὲ ἀπαρχὰς οἷον τῆς ἑαυτοῦ στρα- 9 τείας ἀποδιδοὺς τοὺς τιμίους σταυρούς, οὓς οἱ βάρβαροι ἔλαβον, ὁπηνίκα ὁ Στυππειώτης τῶν σχολῶν δομέστικος ὢν καὶ πολιορκῶν τὴν Ταρσὸν ἐκ κακοβουλίας δυστυχήματι περιέπεσε, τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου Σοφίας ἀνέθετο. καὶ τὴν 10 Κύπρον δὲ παρὰ Ἀγαρηνῶν κατεχομένην δι' αὐτοῦ ἡ Ῥωμαίων ἀρχὴ προσεκτήσατο. εἶτα τῇ Συρίᾳ ἐπῆλθε καὶ πόλεις 11 ἐκπορθήσας καὶ χώρας ἑλὼν πρὸς τῷ Λιβάνῳ καὶ τῇ παραλίᾳ κειμένας ἦλθεν εἰς Ἀντιόχειαν. τῶν δ' Ἀντιοχέων ἀντικαθιστα- 12 μένων ἐρρωμενέστερον, ἤδη δὲ καὶ τῶν ἐπιτηδείων ἐπιλιπόντων τοῖς στρατιώταις καὶ τέλματος ἐξ ὑετοῦ γεγονότος πολλοῦ, ἀπέστη D τῆς πολιορκίας καὶ πρὸς τὴν τῶν πόλεων ὑπερκειμένην ἐπανελήλυθεν, ἐπηγμένος καὶ τὸ τοῦ σωτῆρος Χριστοῦ ἱερὸν καὶ θεῖον ἐκτύπωμα, ὃ ἐν κεράμῳ εὗρε κατὰ τὴν Ἱεράπολιν τὴν

9 περὶ τῆς Κύπρου CE 11 ὅτι τῆς Συρίας πόλεις πορθήσας καὶ τὴν Ἀντιόχειαν πολιορκῶν ἀπανέστη (ἐπανέστη E) καὶ περὶ τοῦ ἁγίου κεραμιδίου (κεραμι^δ C) CE

1 κωνσταντίνου Rwp τῆς prius om. O 3 δεικνυούσης D, corr. D_w 4 ante τείχει add. ἑώω O(wp*Di*), om. AE 5 διοτικῷ D, corr. D_w αὐτοῦ Ewp στρατίας E, στρατιᾶς D 6 ἀποδίδους p* 7 στυπειώτης Rwp Cedr. (Scylitz.) II p. 363, 15, corr. D_w ὣν D, ὢν corr. D_w 8 περιέπεισε D, corr. D_w 10 κατεχ. παρὰ ἀγαρηνῶν BD, κατεχ. ὑπὸ τῶν ἀγαρηνῶν C 12 ἐρποθήσας (sic) E χώρας] πόλεις D 13 ἀντιοχέων om. w*p 14 ἐπιλειπόντων DEwp 17 τὸ om. D

ıestiae portas exquisiti artificii, novis ornamentis additis, partim nuro iuxta acropolim orientali, partim occidentali accomodavit. Atque etiam deo quasi primitias expeditionis suae obtulit, vene- 9 randis crucibus, quibus barbari potiti erant, cum Styppiota, scholarum domesticus, in obsidione Tarsi re per imprudentiam male gesta cladem accepisset, S. Sophiae templo dedicatis. Cyprum 10 quoque ab Agarenis occupatam Romano imperio restituit. Deinde 11 Syriam invasit et urbibus locisque ad Libanum et iuxta mare sitis partim expugnatis, partim vastatis ad Antiochiam venit. Sed An- 12 tiochenis acrius resistentibus, accedente etiam commeatus penuria et solo imbribus inundato, soluta obsidione in urbem principem rediit, allata servatoris Christi sacra divinaque effigie Hierapoli,

τῶν Σύρων, καὶ βόστρυχον τοῦ βαπτιστοῦ Ἰωάννου αἵματι πεφυρμένον.

13 *Ἐν μὲν οὖν στρατηγίαις τοιοῦτος οὗτος ἐγεγόνει ὁ αὐτοκράτωρ καὶ ἐπὶ μακρὸν ηὐξήκει Ῥωμαίοις τὰ ὅρια καὶ τῆς αὐτῶν ἡγεμονίας ἐξέτεινε τὰ σχοινίσματα· ἀλλὰ δι' αἰτίας τινὰς* 5
14 *πᾶσιν ἦν στυγητός. αἱ δ' αἰτίαι ὅτι τῶν σὺν αὐτῷ τῇ ἀποστασίᾳ ἐπιχειρησάντων στρατιωτῶν κακῶς διατιθεμένων τοὺς οἷς ἂν ἐντύχοιεν τῶν κακουμένων οὐκ ἐπεστρέφετο καὶ οἰκιῶν*
P II 202 A *πολλῶν περιφανῶν τε ἀνδρῶν καὶ δημοτικῶν διαρπαγεισῶν, ὡς οὐδενὸς κακοῦ γεγονότος διέκειτο, μᾶλλον μὲν οὖν καὶ* 10 *ἐνετρύφα ταῖς εἰς τοὺς ἀστοὺς παροινίαις, καὶ ταῦτα συναρα-*
15 *μένους αὐτῷ πρὸς τὸ τῆς βασιλείας τυχεῖν, καὶ ὅτι προφάσει τῶν συνεχῶν πολέμων καιναῖς εἰσφοραῖς καὶ τῶν ἀρχαίων αὐξήσεσι καὶ εἰδῶν εἰσπράξει παντοδαπῶν ἐξέτρυχε τὸ ὑπήκοον, καὶ οὐδὲν ἄμεινον πολεμίων τὸ στρατιωτικὸν διετίθετο τοῖς* 15
16 *πρὸς οὓς ἂν τῶν ὑπηκόων ἐπεχωρίασεν. ἐπὶ τούτοις διὰ τὰς πυκνὰς ἐκστρατείας ἔνδειαν ἔχειν χρημάτων προφασιζόμενος, τὰς μὲν διανεμομένας τῇ γερουσίᾳ βασιλικὰς δωρεὰς κατὰ μέρος*
B *ἠλάττωσε, τὰς δ' ἀπονενεμημένας ἀνέκαθεν τεμένεσιν ἱεροῖς*

3 *ὅπως ὁ Φωκᾶς Νικηφόρος διέκειτο περὶ τὸ ὑπήκοον· καὶ ὅτι οὐδὲ τῶν ἐκκλησιαστικῶν ἀπείχετο* CE

1 *βόστριχον* D, corr. Dw 3 *οὗτος* om. Ewp *ἐγεγόνει οὗτος* OWo lat. 4 *ῥωμαίος* w*p 7. 8 *τοῖς οἷς* DE 12 *τὸ* AR, om. w*p 14 *εἰδὼν* (sic) A 15 *τοῖς* om. Owp 16 *ὑπεχωρίασεν* C 17 *ἔχει* D *προςφασισάμενος* D 18 *μὲν* om. D 19 *ἀπονεμημένας* Rwp

1 ἐκόμισα D μαθὼν post λιπαρ. DEwp 2 σουλτάνον A, σουλτάν RwpDi 2. 3 τὸν ἄνδρα BC 3 πέμψαι B 4 σουλτὰν RwpDi, σουλτᾶν A, v. ad XVII 25, 21 post σπονδὰς add. αἰτῶν omisso tum ζητῶν BC 5 ζητῶν γενέσθαι A, γενέσθαι αἰτῶν DEwp, γενήσεσθαι omisso ζητῶν (v. ad vs. 4) R δῶρον στέλλει ARw (v. Cedr. l. c. p. 581, 2), δωροστέλλει D, δωρεὰν στέλλει p post στέλλει add. αὐτῷ BCwp 6 ἔδωκε BC 7 ἄρασθαι ante κατὰ D κατηγγύησεν B 8 πρέσβυν Bˢwp, πρέσβιν AR ante βασιλέα add. τὸν BC βασιλέαν D 9 οὗτος δ' ἐστὶ παρ' αὐτοῖς πάλαι ἦν παρ' ὅπερ ἡμῖν w*p 10 σύγκελλος ARwp, σύγγελλος D, σύγκελος E, σύγγελος Cw ὡς—σύγκελλος om. C σύγγελλος D 12 θανόντος Bp ἐκεῖνος om. wp invitis AR διεδέχετο RwpDi, διεδέ(χε)ξατο A 13 μεγάλην πόλιν Ewp 14 τε om. BC 15 τ. σουλτὰν RwpDi, τ. σουλτᾶν A, v. ad XVII 25, 21 Ad marginem cod. A manu recenti negligentissime et atramento paene evanido addita sunt: ἐντεῦθεν οἶμαι κατὰ τὸν τοῦ χοσρόου χρόνον (?), τὰ ῥωμαίων ἤρξαντο καταδουλοῦν οἱ πέρσαι συνεπιόντες .... (post συνεπιόντες tota fere linea vermibus est exesa) τῶν περσῶν ἀντιοχίας (?) δυναστείαν τοῦρκοι

38 Rex autem nuntio de capto Liparite accepto magnam pecuniam ac munera eius redimendi causa sultano misit liberandi eius
39 cupidus et petens, ut Turci cum Romanis foedus icerent. Qui sultanus Liparitem gratis restituit, omni pecunia illi, pro quo missa erat, tradita addita admonitione, ne in posterum arma con-
40 tra Turcos caperet. Atque ipse etiam legatum ad regem misit,
41 quem illi seriphem vocabant; cuius eadem fere conditio est, quae olim apud nos syncelli; nam sicut is patriarchae mortui locum
42 occupabat, ita etiam seriphes chaliphae defuncto succedebat. Is igitur magnam urbem ingressus et superbe cum imperatore collo-

αὐτὸς κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἔκτοτε προχωροῦν τὸ τῶν
Τούρκων ἔθνος τῆς ἑῴας πάσης ἐκράτησε καὶ μέχρι τῆς ἀντι-
πόρθμου τῇ Βυζαντίδι ἠπείρου κατήντησε.
Τὰ μὲν οὖν τῶν Τούρκων τοῦτον ἔσχε τὸν τρόπον· τὸ 26 D
5 δὲ τῶν Πατζινάκων ἔθνος αὖθις κατὰ τὴν Εὐρωπαίαν μοῖραν
κεκίνητο· Σκυθικὸν δὲ τὸ ἔθνος καὶ πολυάνθρωπον, πέραν
Ἴστρου νεμόμενον. ἦν δὲ τότε τοῦ ἔθνους ἄρχων Τυράχ, ἀνὴρ 2
τὸ μὲν γένος παρὰ τὸ ἔθνος λαμπρός, τὸ δὲ ἦθος νωθής.
ἕτερος δέ τις Κεγένης καλούμενος, ἄσημος μὲν ὅσον εἰς γένους 3
10 ἀναφοράν, ἀνὴρ δὲ ῥέκτης τε καὶ δραστήριος ὢν καὶ πολλάκις
ἐν πολέμοις ἀνδραγαθήσας, παρὰ τοῦ ἔθνους πεφίλητο. διὸ 4
καὶ παρὰ τοῦ Τυρὰχ ἐλοχᾶτο, ζητοῦντος αὐτὸν ἀνελεῖν. ὃ γνοὺς 5 W III 205
ἐκεῖνος καὶ δύο τῶν φυλῶν προσεταιρισάμενος, οὐσῶν πασῶν
δέκα ἐπὶ τρισί, σὺν αὐταῖς διέβη τὸν Ἴστρον καὶ ἐπὶ τὰ Ῥω- P II 258 A
15 μαίων ὅρια γέγονεν, αὐτόμολος ἥκειν λέγων τῷ βασιλεῖ καὶ
οὐκ ἔσεσθαί οἱ ἀσυντελής. ἐμηνύθη ταῦτα τῷ Μονομάχῳ, καὶ 6
ὁ τῆς χώρας ἄρχων κελεύεται δέξασθαι τοὺς Σκύθας. ὁ δὲ 7
Κεγένης εἰς τὴν βασιλίδα τῶν πόλεων φοιτήσας ἐς ὄψιν ἦλθε

5 *περὶ Πατζινάκων καὶ ὅπως εἰς τὰ παρίστρια διέβησαν* CE 12 *περὶ τῆς τῶν Σκυθῶν προσελεύσεως* CE

1 *προσχωροῦν* D 1. 2 *τὸ τῶν τούρκων ἔθνος* AR, *τὸ ἔθνος τῶν τούρκων* C, *τὸ τῶν τούρκων γένος* Ewp 2 *ἁπάσης* Rwp 5. 6 *αὖθις κατὰ—δὲ τὸ* om. E 5 *αὖθις* om. B[s]Cwp 8 *περὶ* E *τῷ ἔθνει* CDwp 10 *τε* om. D *ὢν* om. p**Di* invitis ARw 12 *συρὰχ* D *ἐχολᾶτο* E 15 *λέγων ἥκειν* BC 16 ante *μον.* add. *βασιλεῖ* C 18 ante *εἰς* add. *καὶ* Rwp *εἰς—ἐς*] v. ad p. 184, 12 *φοιτήσας* ante *τῶν* C

cutus cum ab eo postulasset, ut tributa sultano penderet, infecta re est dimissus. Qua de causa iratus sultanus ipse Romanos 43 aggressus est, eoque tempore Turcica gens longius progressa totum Orientem subegit et usque ad continentem Byzantio obversam processit.

26. Ac ita se res Turcicae habuerunt; Patzinacae vero iterum in Europam grassabantur, gens Scythica et populosa ultra Istrum incolens, cui tum Tyrachus imperabat, vir nobilis ille qui- 2 dem, sed ignavus. Alius vero quidam Cegenes, ut genere obscuro 3 ortus, ita homo acer et strenuus ob multa egregia facinora in bellis edita populo carus erat. Qua de causa Tyrachus eum per 4 insidias tollere studebat. Quo ille animadverso, duabus e tredecim 5 tribubus sibi conciliatis, traiecto Istro in Romanorum fines venit, se transfugisse ad regem eique non inutilem fore professus. Qua re indicata praeses huius regionis a Monomacho Scythas 6 recipere iubetur. Cegenes vero Byzantium profectus in con- 7

τῷ βασιλεῖ καὶ τὸ σωτήριον δεξάμενος βάπτισμα ἐτιμήθη πα-
8 τρίκιος. ἔπεισε μέντοι καὶ τοὺς σὺν αὐτῷ Σκύθας τοῦ θείου
9 τούτου λουτροῦ μετασχεῖν. ποιούμενος δὲ τὰς διατριβὰς κατὰ
τὰ παρίστρια καὶ διαβαίνων τὸν ποταμὸν ἀθρόον ἐκάκου τοὺς D I
10 τοῦ Τυράχ, ἀναιρῶν τε καὶ ληιζόμενος. πρεσβείαν τοίνυν ὁ 5
Τυρὰχ πρὸς τὸν βασιλέα ἀπεσταλκὼς ᾐτιᾶτο ὅτι τὸν ἀποστάτην
τοῦ ἔθνους ἐδέξατο, καὶ εἰ μὴ κωλύσει κακοῦν τὸ ἔθνος τὸν
B 11 πρόσφυγα, τὸ ἔθνος ὅλον ἕξει πολέμιον. πρὸς ταῦτα δ' ὁ αὐτο-
κράτωρ "οὔτε προδότης" ἔφη "τοῦ προσελθόντος γενήσομαι
12 οὔτε κωλύσω μὴ ἀμύνασθαι τοὺς ἐπιβουλεύσαντας." τούτων 10
τῶν μηνυμάτων τῷ Τυρὰχ κομισθέντων, ἐπεὶ χειμὼν ἐπέστη
καὶ ὁ Ἴστρος ἐξ ὄχθης εἰς τὴν ἑτέραν τῷ κρύει πηγνύμενος
κεκρυστάλλωτο, πεζῇ διέβη τὸν ποταμὸν σὺν τῷ ἔθνει παντὶ
καὶ τὴν Ῥωμαΐδα χώραν καταλαβὼν τὰ ἐν ποσὶν ἐκεράϊζεν.
13 ὁ δέ γε βασιλεὺς τοῦτο μαθὼν στρατιὰν αὐτίκα τῷ τῆς χώρας 15
14 ἄρχοντι καὶ τῷ Κεγένῃ ἐπίκουρον ἔπεμψεν. οἱ μέντοι Πατζι-
C νάκαι τροφῶν ἀφθονίαν εὑρόντες καὶ οἴνου καὶ ἄλλων πομάτων
ἐσκευασμένων ἐκ μέλιτος καὶ περὶ ταῦτα ἀπληστευσάμενοι, νοσή-
15 ματι κοιλιακῷ περιέπεσον. καὶ τοῦτο ἐξ αὐτομόλου γνοὺς ὁ

10 περὶ τῆς τῶν ἑτέρων Σκυθῶν ἐπελεύσεως καὶ ὅπως ἑάλωσαν C

4 παρίστρια RwpDi, πά|τρια A 5 πρεσβίαν E, corr. Ew 7 κωλύση E(wp) 8 post πρόσφ. add. ἠπείλει Rwp ἕξειν Rwp 9 γενήσεσθαι Rwp 10 κωλύσω AD, κωλύσαι Rwp ἀμύνεσθαι D 11 τῶν om. CD 13 κεκρυστάλωτο AR, κεκρυστάλλωτο wpDi 14 κατειληφὼς Rwp 16 ἔπεμψεν R[s]wpDi, ἔπεμψε A, v. ad XIII 1, 5 17 ante τροφ. add. καὶ B πομάτων AO Cedr. (Scylitz.) II p. 586, 11, ποτίμων Ewp

spectum regis venit et salutari baptismate initiatus patricius est
8 appellatus suisque Scythis persuasit, ut et ipsi divino illo lavacro
9 abluerentur. Cum vero in ripis Istri stativa haberet et flumine
10 subito traiecto Tyrachios caedibus et rapinis infestaret, Tyrachus
per legatos cum rege ob transfugam susceptum expostulat, quem
11 nisi coërceret, totam gentem illi fore hostem. Ad ea respondet
imperator se neque deditícium proditurum neque prohibiturum,
12 quominus insidiatores ulcisceretur. Quibus nuntiis acceptis Tyrachus, cum Ister hiberno tempore totus conglaciasset, cum tota
gente pedibus flumen transiit Romanaque provincia occupata ob-
13 via quaeque vastabat. Sed rex exercitum provinciae praesidi et
14 Cegeni statim subsidio mittit. Patzinacae vero, cum annonae et
vini et aliarum potionum, quae ex melle conficiuntur, copiam
invenissent et iis avide se ingurgitassent, in coeliacum morbum
15 inciderunt. Quo Cegenes e transfuga cognito Romanis quoque

Κεγένης ἀναπείθει καὶ τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπιθέσθαι τοῖς ἐναντίοις. ὡς γοῦν εἶδον οἱ βάρβαροι τὴν κατ' αὐτῶν τῶν 16 Ῥωμαίων ἐπέλευσιν, κατειργασμένοι τῇ νόσῳ τυγχάνοντες ἰλιγγίασαν καὶ ἀποδειλιάσαντες μεθῆκαν τὰ ὅπλα καὶ ἱκέται γεγό-
5 νασι καὶ τοῖς ἐχθροῖς παρέδωκαν ἑαυτούς. τούτων ὅσοι μὲν 17 ὑπὸ τὸν Κεγένην γεγόνασιν, οἱ μὲν ξίφεσι παρεδόθησαν, οἱ δὲ πρὸς δουλείαν χρυσοῦ ἀπεδόθησαν. τὸ πλῆθος δὲ τὸ λοιπὸν 18 χρήσιμον ἐνομίσθη γενέσθαι Ῥωμαίοις, εἰ τὰ ὅπλα ἀφαιρεθὲν εἰς τὴν τῶν Βουλγάρων χώραν κατοικισθείη, ἔρημον οὖσαν D
10 τὴν πλείονα, πρὸ μικροῦ τοῦ ἔθνους ἐκείνου καταλυθέντος· ὃ
176 καὶ γέγονε τοῦ βασιλέως κελεύσαντος. ὁ δέ γε Τυρὰχ σὺν 19 τοῖς ἐξόχοις τοῦ ἔθνους ἤχθη πρὸς τὸν κρατοῦντα καὶ τοῦ θείου καταξιωθέντες βαπτίσματος ἀξιώμασι λαμπροῖς ἐτιμήθησαν. ὡς δὲ μάχαι τότε Ῥωμαίοις μετὰ τῶν Τούρκων ἦσαν 20
15 κατὰ τὴν ἑῴαν, πεντεκαίδεκα χιλιάδας Πατζινάκων ὁ αὐτοκράτωρ ἐπιλεξάμενος καὶ καθοπλίσας αὐτοὺς ἵππους τε παρασχόμενος καὶ ἐπιστήσας στρατάρχας αὐτοῖς ἐκ τῶν ὁμογενῶν ἐν Χρυσοπόλει διεπέρασεν, εἰς Ἰβηρίαν κελεύσας ἀπελθεῖν, τάξας αὐτοῖς καὶ προηγήτορα τῆς ὁδοῦ. ὡς δ' οὖν περὶ τὸν Δαμα- 21
20 τρὺν ἥκασιν, ἔστησαν καὶ πρόσω προβαίνειν οὐκ ἤθελον· εἰς

14 ὅπως οἱ Σκύθαι τῆς ὑπὸ Ῥωμαίους δουλείας ἀφηνίασαν, εἶτα ἐσπείσαντο CE

2 οὖν DEwp 5. 6 καὶ τοῖς—τὸν κεγένην om. E 5 ante ὅσοι add. δ' w*p invitis AO 8 ἀφαιρεθεῖν p* 9 κατοικηθείη D 14. 15 κατὰ τὴν ἑώαν ante μετὰ Rwp 17 καὶ om. *Di* invitis ARwp ἐπιστήσας post αὐτοῖς BC 18 ἐν] καὶ D διεπεραίωσεν Rwp 20 ἀφίκοντο BC πρόσω προβαίνειν AR, πρόσω βαίνειν DEwp*Di*, sed non abhorret ab usu Zonarae talis plenasmus, v. XVII 29, 9: πρότερον . . προκαταληφθέντα

copiis fit auctor hostes invadendi. Quas cum barbari morbo con- 16 fecti contra se ire vidissent, aestuantes et animis armisque abiectis facti supplices hostibus se dediderunt. Quicunque vero in Ce- 17 genem inciderunt, partim gladiis sunt trucidati, partim auro ad servitutem venierunt. Reliqua multitudo Romanis usui fore visa 18 est, si armis ademptis in Bulgaria maxima ex parte deserta ob gentem illam non ita pridem eversam collocaretur; idque iussu regis factum est. Tyrachus vero eiusque proceres ad impera- 19 torem perducti et baptizati et magnis dignitatibus ornati sunt. Quod autem tum Romanis cum Turcis bella erant in Oriente, 20 imperator delectu acto XV milia Patzinacarum armis et equis et suae gentis ducibus datis Chrysopolim transvectos in Iberiam ire iussit, itineris quoque duce addito. Qui cum ad Damatryn 21

τοὐπίσω δὲ χωρήσαντες καὶ ἄχρι τοῦ πορθμοῦ ἐφθακότες σὺν
τοῖς ἵπποις τὴν θάλασσαν διαπορθμευσάμενοι κατὰ τὴν τοῦ
P II 259 A ἁγίου Ταρασίου μονήν, αὐτίκα συντεταμένην ποιησάμενοι τὴν
22 ὁδοιπορίαν τοῖς ὁμογενέσι προσήνωντο· καὶ ἐπεὶ ὁμοῦ συν-
ηθροίσθησαν, ἀπῆλθον καὶ ἐν τοῖς παριστρίοις πεδίοις ἐπήξαντο 5
τὰς σκηνάς, ἐκεῖθεν δ' ὁρμώμενοι τὰ Θρᾳκῷα κατέτρεχον.
23 πολλάκις δὲ τοῦ βασιλέως κατ' αὐτῶν στρατεύματα πέμψαντος,
ἐπικρατέστεροι ἦσαν οἱ βάρβαροι, ὥστε καὶ ἀδεῶς κατὰ πάσης
τῆς Θρᾴκης καὶ Μακεδονίας σκεδάννυσθαι καὶ λείαν ἅπαντα
τίθεσθαι καὶ οὐ τὰ πόρρω μόνον, ἀλλὰ μέντοι καὶ τὰ τῇ πόλει 10
24 ἀγχίθυρα. τέλος δὲ σπένδονται Ῥωμαίοις τριακοντούτεις σπον-
δάς. καὶ οὕτως ὁ τῶν Πατζινάκων ἔληξε πόλεμος.

27 Ὁ δὲ σουλτὰν οὐκ ἔληγεν ἐπιὼν τὰς ὑπὸ Ῥωμαίους χώ-
ρας καὶ πόλεις καὶ τὰς μὲν ληιζόμενος, τὰς δ' ἐκπορθῶν τε
W III 206 B καὶ οἰκειούμενος. 15

2 Κατὰ τούτους τοὺς χρόνους καὶ ἐπιβουλὴν ὁ αὐτοκράτωρ
3 ἐφώρασεν, ἣν Ῥωμανὸς ὁ Βοΐλας συνεστήσατο. ἦν δ' οὗτος

16 *περὶ ἐπιβουλῆς, ἣν ὁ Βοΐλας ἐμελέτησε καὶ οἷος ἦν ἐκεῖνος* (om. E) CE

2 post *διαπορθ.* repetit E *τοῦ πορθμοῦ ἐφθακότες*, quae omnia praeter *τοῦ* delet 3 *συντεταμένην* AC*Wo* lat., *ἐντεταμένην* B, *συντεταγμένην* Rwp (cf. Cedr. l. c. p. 589, 13: *τὴν πορείαν ἐπιτείναντες*) 4 *πορείαν* BC *προςήνωνται* D 7 *κατ' αὐτῶν* initio versus om. D *στράτευμα* Ewp 9 ante *μακεδ.* add. *τῆς* Rwp 16 post *ἐπιβουλὴν* add. *καθ' ἑαυτοῦ* (*κατ' αὐτοῦ* D) Rwp 17 *ἐφόρασεν* E, corr. Ew *βόϊλας* AEwp, *βοῖλας* O (B corr. ex *βόϊλας*) *Di* (v. Cedr. (Scylitz.) II p. 605, 2), *Βοϊλᾶς* mavult *B-W*

pervenissent, restiterunt nec ultra progredi voluerunt, sed regressi usque ad fretum, mari iuxta S. Tarasii monasterium equis transmisso, continenter profecti sunt, donec cum popularibus
22 suis se coniungerent. Quo facto, tabernaculis in campis ad ripas
23 Istri fixis Thraciam incursarunt, copiis regiis subinde contra se missis superiores, ut impune per totam Thraciam et Macedoniam vagarentur et omnia praedarentur, non remota tantum, sed
24 et urbi finitima. Tandem vero XXX annorum indutiis cum Romanis factis, belli Patzinacarum hic fuit exitus.

27. Neque vero sultanus destitit infestare Romanas provincias et urbes, aliis direptis, aliis vastatis, aliis suo regno adiectis.

2 Sub id tempus imperator insidias sibi factas a Romano Boila
3 deprehendit. Is erat vir obscurus, lingua semimuta et vi articu-

77 τῶν ἀσήμων ἀνὴρ καὶ τὴν γλῶσσαν εἶχεν ἡμίφωνον μηδ' οἵαν
ὀρθοεπεῖν, ὀλισθαίνουσαν δ' ἐν ταῖς ὁμιλίαις καὶ ἀνεπαίσθητα
τοῖς ἀκροαταῖς φθεγγομένην. τοῦτο δὲ ἦν τὸ μὲν ἐλάττωμα 4
φυσικόν, τὸ δὲ προσποίησις καὶ σκηνὴ τὴν τῆς φύσεως δι-
5 αμαρτίαν τῇ ὑποκρίσει τοῦ σκηνουργοῦ ἐπιτείνοντος. τῷ τοιούτῳ 5
τοίνυν ἀνδρὶ ὡς οὐδενί τῳ ὁ βασιλεὺς ἥδετο, καὶ εἰ διημαρ-
τημένα καὶ ἀδιάρθρωτα ἤκουε φθεγγομένου αὐτοῦ, ὑπὲρ πᾶσαν
ἡγεῖτο τὰς ἐκείνου φλυαρίας γλυκυθυμίαν. καὶ οὕτως διὰ ταῦτα 6
τῷ βασιλεῖ προσῳκείωτο ὡς πάντα καιρὸν εἶναι αὐτῷ τῆς πρὸς C
10 ἐκεῖνον εἰσόδου καὶ τῆς ἐντεύξεως. καὶ οὐχ οὕτως αὐτῷ τὰ 7
περὶ τὸν ἀνδρῶνα διέκειτο, ἡ δὲ γυναικωνῖτίς οἱ ἀπεκέκλειστο,
ἀλλ' ἄνετος ἦν αὐτῷ κἀκείνη καὶ ὅτ' ἐβούλετο βάσιμος, καὶ ὁ
πλοῦτος ἐπέρρει τῷ ἀνδρὶ ἑκατέρωθεν, καὶ ἐκ τῶν τριόδων
ἀναρπασθεὶς εἰς αὐτὴν ἀνήχθη τὴν συγκλητικὴν κορυφήν. ὁ 8
15 δὲ οὐκ ἠγάπα τοῦτον εὐδαιμονήσας τὸν τρόπον, ἀλλὰ καὶ τῆς
βασιλείας ἐρᾷ καὶ μελετᾷ ταύτην ἑαυτῷ προσνεῖμαι, κτείνας
τὸν αὐτοκράτορα. καὶ οὓς ᾔδει δύσνους τῷ βασιλεῖ, τούτοις 9
τὸ ἀπόρρητον ἀνεκάλυπτε. καὶ τοὺς μὲν τὸν λόγον προσιεμένους
μεγάλαις ἐλπίσιν ἐξαίρων πρὸς τοὔργον ἐρρώννυεν. εἰ δέ τινες 10
20 καὶ πρὸς τὴν προσβολὴν ἐδυσχέραινον, ὁ δὲ πεῖραν ἔλεγε τὸν D
λόγον προσαγαγεῖν, ἵνα γνῷ τὴν ἐκείνων πίστιν τὴν πρὸς τὸν

1 *γλῶτταν* O 3 *δ'* Rwp*Di* 7 *διάρθρωτα* D 8 *οὕτω* DEwp*Di*, v. ad XIII 6, 16 11 *ἄνδρα* DE *γυναικωνίτης* AR, *γυναικωνίτις* B, corr. wp*Di* *οἶ* AO, *οἷ* E, corr. wp*Di* *ἀποκέκλειστο* DE 12 *βάσιμος* om. C 15 *τοῦτο* E 17 *ἤδη* AC, *ἤδει* R(wp*Di*) 19 *ἐξαίρων* om. C *τοὖργον* *Di* invitis ARwp, v. ad XV 1, 12 *ἐρώννυεν* w*p invitis AR 20 *προσβολὴν*] *βουλὴν* D 21 *εἰς* Rwp

late loquendi destituta, partim naturae vitio, partim simulatione 4
et affectatione, qua insitum sibi vitium augebat. Eo igitur ho- 5
mine rex magis quam aliquopiam delectabatur eiusque nugas per-
peram et confuse loquentis omnibus aliis voluptatibus praeferebat;
unde tam familiaris illi factus est, ut quavis hora illum convenire 6
et alloqui auderet. Nec minus illi gynaeceum quam andronitis 7
patebat, quandocunque volebat, et utrimque ei viro divitiae af-
fluebant, ita ut licet a triviis ad senatorium fastigium evectus
esset. Qua tamen felicitate non contentus regnum etiam concupi- 8
scit idque sibi vindicare contendit, imperatore interfecto. Quos 9
igitur regi male velle sciebat, iis arcanum detegebat; qui si eius
orationem probarent, eos magna spe proposita ad facinus con-
firmabat. Sin eum conatum aversarentur, aiebat se ea tentandi 10
causa dixisse, ut eorum fidem erga imperatorem exploraret,
eorumque integritate collaudata se illorum benevolentiam regi

αὐτοκράτορα, καὶ ἐπῄνει τοὺς ἄνδρας τῆς διαθέσεως καὶ γνω-
11 ρίσαι τῷ βασιλεῖ εὔνους αὐτῷ τυγχάνειν διώμνυτο. ὁ μὲν οὖν
οὕτω μετῄει τοὺς πλείονας, καὶ οἱ ἐκείνῳ συνομοσάμενοι ῥᾷστα
12 τὸ βούλευμα ᾤοντο γενέσθαι ἀνύσιμον. οὐ μόνον γὰρ ἡ πρὸς
τὸν βασιλικὸν κοιτωνίσκον πάροδος ἐκείνῳ ἄνετος ἦν, κἂν ἔτυχεν 5
ὑπνώττων ὁ βασιλεὺς κἂν τῇ βασιλίδι συνίανεν, ἀλλὰ καὶ τὰς D
13 τῶν ἀπορρήτων εἰσόδων κλεῖς ἐμπεπίστευτο. καὶ ἤχθη ἂν εἰς
ἔργον τὸ διαβούλιον, εἰ μή τις αὐτῷ τῷ βασιλεῖ κατεμήνυσε
14 τῶν κοινωνησάντων τοῦ σκέμματος. ἥλω τοίνυν ἐπ' αὐτοφώρῳ
P II 260 A καὶ τὸ ξίφος αὐτὸ κατέχων ᾧ τὸν αὐτοκράτορα ἔμελλεν αὐτίκα 10
15 διαχειρίσασθαι. ἀλλ' ὁ μὲν διὰ τὸ τοῦ κρατοῦντος ἀβέλτερον
οὐδὲν ὑπέστη ἀνιαρόν, οἱ δὲ τῆς ἐπιβουλῆς ἐκείνῳ συνίστορες
οὐκ ἔμειναν ἀτιμώρητοι.

16 Οὗτος ὁ βασιλεὺς φιλότιμος δοκεῖν ἐθέλων καὶ ἐλευθέριος,
μὴ μετιὼν δὲ τὴν ἀρετὴν ὡς ἐχρῆν, εἰς κακίαν ταύτην μετ- 15
17 ήνεγκεν. ἀντὶ γὰρ μεγαλοπρεπείας εἰς ἀσωτίαν μετακεκύλιστο,
οὔτε οἷς ἔδει παρέχων τὰ δημόσια χρήματα οὔτε ὅσαπερ ἔδει
18 οὔθ' ὅτε χρεών. καὶ τὴν μονὴν τὴν τῶν Μαγγάνων οἰκοδο-

14 *ὅτι οὐ κατὰ λόγον ἀναλίσκων τὰ* (*κατέλιπεν ἀναλίσκοντα* E) *δημόσια χρήματα εἰς πόρους ἀπεῖδεν* (om. E) *οὐκ εὐαγεῖς ὁ Μονομάχος* CE

1 *γνωρῖσαι* (sic) A, v. ad XVII 28, 16. XVIII 1, 8 3 *συνωμοσάμενοι* O 4 *ἡ*] *οἱ* D 5 *ἄνετως* p* 6 post *κἂν* add. *καὶ* DEwp 8 *αὐτῷ* ACD, *αὐτὸ* R (E corr. ex *αὐτῷ*) wp*Di* *τῷ* om. C 9 *αὐτοφόρῳ* p* 12 *δέ της* D 14 *καὶ* om. C, suppl. Cw 15 post *δὲ* add. *σὺν ἐπιστήμῃ* BC(wp) 16 *γὰρ* om. D *ἀσωτείαν* DE 17 *ὅσα παρέδει* E 18 post *μονὴν* add. *δὲ* Rwp*Di*

11 esse patefacturum iurabat. Cum autem sic plerosque tractaret,
12 eius coniurati rem facillime posse confici opinabantur. Neque
enim in regium tantum cubiculum, ipso dormiente aut cum regina cubante, homini patebat aditus, sed et occultorum adituum
13 claves creditae erant. Quare omnino ea quae voluit exsecutus
14 fuisset, nisi a quodam ex consciis ipsi regi delatus in manifesto
scelere deprehensus esset, gladium ipsum adhuc tentans, quo im-
15 peratorem statim percussurus erat. Ceterum ipse ob regis stultitiam poenas non dedit, insidiarum consciis tantum supplicio
affectis.

16 Hic rex cum se benignum ac liberalem perhiberi vellet,
17 in eo tamen neque artem neque modum adhiberet, a virtute
magnificentiae in vitium profusionis est devolutus; publicam enim
pecuniam ita dilargiebatur, ut neque quibus, neque quantum,
18 neque quando esset tribuendum, observaret. Nam cum Manga-

μῶν (λέγεται δὲ τῆς οἰκοδομῆς ἄρξασθαι διὰ τὴν ἐρωμένην αὐτῷ, τὴν Σκλήραιναν λέγω, ἵν' ἐκείνῃ προσφοιτᾷ συνεχῶς, ἐν τῷ οἴκῳ τοῦ Κυνηγίου ἐχούσῃ τότε δὴ τὴν κατοίκησιν, πρό- B *φασιν ἔχων τοῦ σεμνείου τὴν δόμησιν) ἐξήντλησε τοὺς βασι-*
5 *λείους ἢ κοινοὺς θησαυρούς, ὅθεν χρημάτων δεόμενος οὐδὲ τῶν ἀπειρημένων πορισμάτων ἀπείχετο. ἀλλὰ καὶ χωρῶν οὐσῶν,* 19 *αἳ τοῖς βασιλεῦσιν οὐ δασμοὺς συνεισέφερον, ἀλλ' ἀντὶ πάσης δασμοφορίας δυσχωρίας ἐφρούρουν καὶ τοῖς βαρβάροις τὴν εἰς τὰς Ῥωμαίοις ὑποκειμένας χώρας ἀπετείχιζον πάροδον, ἐκεῖνος*
10 *φόρους ταῖς χώραις ἐπιτάξας ἐσχόλασε τὰς φρουράς. κἀντεῦθεν* 20 *ἡ πρὸς τὰς Ῥωμαΐδας χώρας ῥᾴστη τοῖς βαρβάροις ἐγένετο πάροδος. ἐκεῖνος τοίνυν ὁ ἀνὴρ αἴτιος τοῖς ἀπαθῶς λογιζο-* 21 *μένοις κριθήσεται τοῦ τὴν ἑῴαν μοῖραν δουρὶ κυριευθῆναι βαρ-* C *βαρικῷ.*

179 *Τῆς δὲ βασιλίδος Ζωῆς ἐν γήρει βαθεῖ (ὑπὲρ γὰρ τὰ* 28 *ἑβδομήκοντα ἔτη παρεξετάθη αὐτῇ τὸ βιώσιμον) καταλυσάσης τὴν ζωήν, οὐκ ἀνδρικῶς ἐκεῖνος ἐθρήνησεν, ἀλλὰ μέντοι γε* W III 207 *μειρακιωδῶς. λέγεται δὲ καὶ ἀγγέλοις αὐτὴν παρεξισοῦν, ἐπειδὴ* 2

12 *σημείωσαι* E 15 *τελευτὴ τῆς βασιλίδος Ζωῆς* AC

1 *λέγεται δὲ τῆς οἰκοδομῆς* RwpDi, om. A 3 *κυνηγεσίου* w*p invitis AR *δὴ* om. BC *καθοίκησιν* p* 4 *βασιλικοὺς* CD 7 *τοῖς βασιλεῦσιν* A, *πρὸς τὸ (τὸν* B) *δημόσιον* O, *πρὸς τὸ δημόσιον τοῖς βασιλεῦσιν* Ewp 8 *ἐφρόρουν* D 9 *ῥωμαίους* D 11 *ῥωμαίας* Ewp 12 *ἀπαθῶς* ARCwwp, *ὀρθῶς* BC*Wo* lat. 15 *γήρει* AR Psell. p. 190, 12, *γήρᾳ* (DE)wp*Di*, v. Usenerum *Der heil. Theodosios* p. 125 et *Wiener-Schmiedel Gramm. d. neutest. Sprachidioms.* Gotting. 1894 § 9, 2 16 *παρεξητάσθη* E 17 *ἀνδρωδῶς* BC

norum monasterium aedificaret, quod ob adamatam Scleraenam incohasse fertur, ut eam tum in domo Cynegii habitantem per speciem structurae inspiciendae crebrius conveniret, regiis et publicis thesauris exhaustis, ad pecuniae inopiam redactus ne illicitis quidem quaestibus abstinebat. Sed cum provinciae quaedam essent 19 immunes, quae pro omnibus vectigalibus locorum angustias tuerentur et barbaros aditu Romanarum ditionum prohiberent, custodiis abolitis tributa iis provinciis imperavit, unde barbaris 20 sine ullo negotio patuerunt. Illud certe quidem, si quis sine 21 studio et ira consideret, ei acceptum ferri potest, quod Oriens Marte barbarico est subactus.

28. Regina Zoë provecta aetate mortua (septuagesimum enim annum excesserat), eius obitum non ut viro dignum est tulit, sed pueriliter luxit; eamque angelis aequiperasse fertur, 2

που τοῦ μνήματος ἐκείνης μύκης ἔκ τινος ὑγρότητος ἀνεβλάστησε, καὶ τοῦτο καλεῖν σημεῖον ἄνωθεν οἰκονομηθέν, ἵνα μὴ 3 *ἀγνοῆται ἡ βασιλὶς ταῖς νοεραῖς συντεταγμένη δυνάμεσι. τῆς δέ, ὡς εἴρηται, θανούσης, ὁ βασιλεὺς ἔτι φλεγμαίνων περὶ τοὺς ἔρωτας ἐπεισάγει τοῖς βασιλείοις μείρακά τινα, ὅμηρα δοθεῖσαν* 5 D *Ῥωμαίοις ἐξ Ἀλανῶν, παῖδά τινος τῶν παρ' ἐκείνοις ἀρχηγετούντων, καὶ ταύτην Σεβαστὴν ὀνομάσας βασίλειον αὐτῇ θερα-* 4 *πείαν καὶ πλούτου χορηγίαν ἀπέταξε. καὶ εἰ μὴ τὴν βασιλίδα Θεοδώραν πεποίητο δι' αἰδοῦς ἢ μᾶλλον τὸ τῆς τετραγαμίας ᾐσχύνετο ἄθεσμον, καὶ βασίλισσαν ἂν τὴν ἐρωμένην ταύτην* 10 5 *ἀνεῖπε καὶ διαδήματι κατεκόσμησεν. ἐκείνου δὲ θανόντος, οὐ παρέμεινε τῇ Σεβαστῇ τὸ εὐτύχημα, ἀλλ' εἰς τὴν προτέραν τῆς ὁμηρείας τύχην ἐπανελήλυθεν.*

6 *Ἄρτι δὲ καὶ περὶ τοῦ τέλους ἱστορητέον τούτου τοῦ αὐτο-* 7 *κράτορος. οὐ μακρὸς ἐξεμετρήθη χρόνος, ἐξ ὅτου τῆς ἡγε-* 15 *μονίας τῶν Ῥωμαίων γέγονεν ἐγκρατής, καί οἱ νόσος ἀρθρῖτις* P II 261 A *ἐνέσκηψεν, ἣ πρότερον τοῖς ποσὶν ἐκείνου τοῦ ῥεύματος ἐπ-*

3 *περὶ τῆς ἐξ Ἀλανῶν παλλακευομένης τῷ βασιλεῖ* CE 15 *περὶ τῆς νόσου ἢ τῶν νόσων τοῦ Μονομάχου* (*τ. μον. ἢ τ. νόσων* E) CE

1 *μι . . . ἔκ τινος* E 2 *τοῦτον* D 3 *τῇ* p* 4 *δὲ* ARw, *δ'* p**Di* 5 *ὅμηρον* wp invitis AR 7 post *αὐτῇ* add. *τὴν* BCwp 7. 8 *ἀπέταξε* post *θεραπείαν* BCwp 8 *χορηγίας* C, *χωρηγίαν* p* post *χορ.* add. *δαψιλεστάτου* BC, *δαψιλεστάτην* w*p 9 ante *θεοδώραν* add. *τὴν* BCwp *θεοδώρα* D ante *πεποίητο* add. *λέγω* BCwp *ἢ μᾶλλον*] *καὶ* BC 10. 11 *καὶ βασίλισσαν—κατεκόσμησεν*] *τάχα τὴν ἐρωμένην ταύτην ἀνεῖπεν ἂν καὶ βασίλισσαν* BC 11 post *κατεκόσμησεν* add. *ἂν* DEwp 12 *παρ ἔμεινε* E, corr. Ew 13 *ὁμηρίας* E, *ὁμηρίας* w*p 15 *ἐκμεμέτρητο* BC 16 *ἀρθρῆτις* AR, *ἀρθρίτης* E, *ἀρθρίτις* D, *ἀρθρῖτις* wp*Di* 17 *ἐνήσκηψεν* D

cum ob loci humiditatem ex eius monumento fungus germinasset, quem signum divina providentia editum vocavit, ne ignoraretur reginam in coetum potestatum intellegentium esse receptam. 3 Qua mortua, ut diximus, rex tum etiam amoris incendio flagrans adulescentulam quandam Alani principis filiam, obsidem Romanis datam, in regiam introductam appellat Augustam, addita custodia 4 regia et sumptibus liberalissimis. Quod ni reginam Theodoram reveritus esset ac potius quarti coniugii dedecus et nefas, amicam suam etiam reginam appellasset et diademate exornasset. 5 Ceterum illa Augustae felicitas non diu permansit; nam post imperatoris obitum ad pristinam conditionem rediit.

6. 7 Nunc de exitu huius imperatoris est dicendum. Quem non multo postquam Romanorum regno potitus est, morbus articularis

ἤνεγκε τὴν φοράν, ὥστε τὰς βάσεις αὐτῷ πρὸς πορείαν καὶ
στάσιν ἀδυνατεῖν. εἰ δέ ποτε κινήσεως ἀνάγκην ἔσχηκεν, ἢ 8
πρός τινων ἐπιστηριζόμενος προέβαινε δυσχερῶς ἢ καὶ πάμπαν
ἑτεροκίνητος ἦν. τοῦ χρόνου δὲ προϊόντος καὶ ταῖς χερσὶν 9
5 ἐπερρύη τὸ αἴτιον· εἶτα καὶ τοῖς ὤμοις ἐπήνεκτο, καὶ τέλος
80 ὅλον αὐτῷ τὸ σῶμα τῷ ῥεύματι κατεκλύζετο καὶ παρεῖτο καὶ
ἐξηρθροῦτο, τοῖς τῶν ἄρθρων κοιλώμασιν ἐγκλειομένου τοῦ ῥεύ-
ματος. ἔκαμνεν οὖν οὕτω πρὸ μακροῦ τὸ σῶμα τῷ βασιλεῖ.
εἶτα καί τι ἕτερον ἐπισυμβεβηκός (τὸ δ' ἦν ἐκ πνεύματος νυ- 10
10 γμὸς περὶ τὴν πλευράν) προσδοκήσιμον ἐκείνῳ καὶ τοῖς αὐτῷ
παραδυναστεύουσιν ἔθετο τὸ τέλος τῆς βιοτῆς, ὧν τὰ πρῶτα 11 B
ὁ λογοθέτης ἦν Ἰωάννης, ἐκτετμημένον ἀνδράριον, ἄσημον μὲν
ἐκ γένους ἢ δυσγενέστατον, πρὸς δὲ πραγμάτων μεταχείρισιν
ἀφυέστατον, γραμματικῆς δὲ τέχνης τοσοῦτον μετεσχηκὸς ὥστε
15 μήτ' ὀρθοεπεῖν ἀκριβῶς μήτ' ἀπταίστως ὀρθογραφεῖν. ἐφ' ᾧ 12
δὴ τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν ὁ βασιλεὺς ἐποιήσατο
καὶ τῶν τῆς βουλῆς ἀπέδειξε πάντων κορυφαιότατον. ἦν γὰρ 13
ἐπὶ τῶν βασιλικῶν διοικήσεων πρῴην ἀνὴρ τούτῳ τὰ πάντα

11 *περὶ τοῦ λογοθέτου τοῦ δρόμου Ἰωάννου* CE 17 *περὶ τοῦ Λειχούδου* (*λειχούδη* E) *Κωνσταντίνου* CE

1 *αὐτοῦ* BCwp 2 *ἀδηνατεῖν* w*p post *ποτε* add. *καὶ* Rwp
3 *ὑποστηριζόμενος* Rwp 4 *τοῦ* initio versus om. C 5 *ἐπερρύη τὸ*] *ἐπερρύητο* w*p invitis AR 7 *ταῖς* B *κοιλότησιν* BC
9 *νύγμα* D 11 *τέλος* AR, *λέγος* w*p 13 *ἢ* AR, *καὶ* w*p
14 *τοσοῦτο* Ewp *μετεσχηκὸς* RwpDi, *μετεσχηκὼς* et *-κὸς* per dittogr. A, *μετεσχηκὼς* D 15 post *ἀκριβῶς* add. *ἀττικίζον* BCwp
16 *διοίκησιν* om. C, suppl. Cw 17 *ἀπέδειξεν ἁπάντων* RwpDi, *ἁπάντων ἀπέδειξε* C post *ἦν* add. *μὲν* Rwp

invasit, humoribus principio ad pedes decurrentibus, ut neque stare, neque ingredi posset. Quando autem eum moveri necesse erat, 8 aut ab aliis suffultus aegre ingrediebatur aut gestabatur. Verum 9 paullatim in manus etiam fluxiones incumbebant, deinde humeros vexabant, denique totum corpus infestabant et laxabant, cavitatibus articulorum se insinuantes. Ad haec aliud accessit malum, 10 vellicatio lateris ex anhelitu, qua fiebat, ut neque ipse vitae diuturnioris spem haberet neque eius proceres, quorum primarius 11 erat logotheta Ioannes, castratus homuncio, obscuro et ignobilissimo genere ortus et ad res gerendas ineptissimus, grammaticae artis adeo peritus, ut neque recte loqui neque sine errore scribere posset. Eum rex summa rerum commissa principem senatus 12 designavit. Nam prius rerum regiarum administratio fuerat penes 13

ἀντίρροπος καὶ γένος καὶ λόγον καὶ τὴν περὶ τὰς πολιτικὰς
14 *οἰκονομίας ἀκρίβειαν. τοιοῦτος δ' ὤν, ὁπηνίκα τι παρὰ τὸ*
καθῆκον ἐπέταττεν αὐτῷ ποιῆσαι ὁ βασιλεύς, οὐκ ἦν τῇ προαι-
C *ρέσει τοῦ κρατοῦντος ἐπικλινής, ἀλλ' ἀντέλεγέ τε καὶ ἀνεῖργε*
15 *τοῦ μὴ προσήκοντος. ὁ δὲ ἐχαλέπαινε καὶ πολλάκις τούτου* 5
γινομένου ἐμηνία τῇ τοῦ ἀνδρὸς ἐκείνου ἐλευθερίᾳ, καὶ ἵνα τὸ
ἀντίξουν ἀποφορτίσαιτο, μεθιστᾷ μὲν ἐκεῖνον τῆς τῶν κοινῶν
διοικήσεως (ὁ Λειχούδης ἦν οὗτος), ἀντεισάγει δὲ τὸν Ἰωάννην
καὶ τούτῳ τὴν τῶν πολιτικῶν ἐγχειρίζει κυβέρνησιν, ἵνα μὴ
16 *πρός τινος ἐφ' οἷς ὁρμήσει ἀνείργοιτο. οὗτος τοίνυν ὁ Ἰωάννης* 10
καὶ ἕτεροι, μέγα κἀκεῖνοι δεδυνημένοι παρὰ τῷ βασιλεῖ, ἀπ-
εγνωκότες αὐτῷ τὸ βιώσιμον πείθουσι τὸν κάμνοντα φροντίσαι
περὶ διαδοχῆς καὶ ὑποτιθέασιν αὐτῷ εἶναι πρὸς τὴν ἀρχὴν
17 *ἐπιτήδειον τὸν Πρωτεύοντα· ὁ δὲ τὴν τῆς Βουλγαρίας ἀρχὴν* D I
D 18 *περιέζωστο καὶ ἀπεδήμει τῆς βασιλίδος τῶν πόλεων. ἔσταλτο* 15
τοίνυν ὁ τὸν ἄνδρα μετακαλεσόμενος· ἐκ δὲ τῆς βασιλίδος Θεο-
δώρας ἡ βουλὴ ἀπεκέκρυπτο. ἀλλ' οὐκ εἰς τέλος τὸ βούλευμα
19 *τὴν βασιλίδα διέλαθε. γνοῦσα δὲ ὡς οὐκ ἐπ' αὐτῇ ποιεῖται τὸ*
κράτος ὁ τελευτῶν, τὸν μὲν ἐᾷ δυσθανατοῦντα κατὰ τὰ ἐν τοῖς

10 *ὅτι τὸν Πρωτεύοντα ἠβουλήθη ὁ βασιλεὺς καταλιπεῖν διάδοχον τῆς ἀρ-χῆς* CE

2 *οἰκονομίαν* D 5 *χαλέπαινε* D 7 *ἐκεῖνον* RwpDi, *ἐκείνῳ* A 9 post *πολιτικῶν* add. *πραγμάτων* Ewp 11 *κἀκεῖνοι* om. C 12 *τὴν ζωὴν* BC *φροντῖσαι* (sic) A, v. ad XVII 27, 10 13 *τὴν* om. D 14 *τὸν πρωτεύοντα ἐπιτήδειον* B 15 *ἔστακτο* D 16 *ἄν-θρωπον* Rwp 17 *ἀπεκέρυπτο* p* 19 *δυςθανοῦντα* E

virum huic et genere et facundia et scientia regendae civitatis
14 omnino dissimilem. Qui, cum rex aliquid secus quam conveniebat
iussisset, ad imperatoris voluntatem non statim propendebat, sed
15 refragabatur et deterrebat. Quod cum saepius fieret, ille graviter
et iniquo animo libertatem illius ferens homini (Lichudes is vo-
cabatur), ut adversatore careret, munus id ereptum in Ioannem
transfert, cui tradit civitatem regendam, ne suae cupiditates in-
16 hiberentur. Is igitur Ioannes et alii, qui multum apud regem
poterant, vita desperata aegrotanti regi auctores sunt deliberandi
de successore monentque Protevontem aptum esse ad imperium.
17. 18 Qui cum Bulgariam regeret, ab urbe aberat. Missus igitur est,
qui hominem arcesseret; idque clam regina Theodora, non tamen
ita, quin arcano illo consilio deprehenso aegrotum regem cogno-
19 sceret potestatem in alium transtulisse. Itaque illo moribundo
in Mangania regia relicto, industria ministrorum suorum nave

Μαγγάνοις βασίλεια· ἐκείνη δὲ σπουδῇ τῶν ὑπηρετουμένων αὐτῇ ἐμβεβηκυῖα νηὶ εἰς τὸ μέγα προσωρμίσθη ἀνάκτορον. καὶ 20 αὐτῇ ἥ τε βασιλικὴ δορυφορία προσερρύη αὐτίκα καὶ τῆς γε- W III 208 ρουσίας τὸ ἔκκριτον, καὶ αὐτοκράτωρ πρὸς πάντων ἀνερρήθη, 5 ὡς αὐτῇ κατὰ κλῆρον τῆς ἀρχῆς προσηκούσης. τοῦτο τῷ 21 Μονομάχῳ γνωσθὲν προστίθησιν ἄλγημα, καὶ βραχύ τι ἐπιβιούς, ὅσον ἐπιστενάξαι τοῖς γενομένοις καὶ ἀθυμῆσαι, ἐξέλιπε, P II 262 A βασιλεύσας ἔτη δώδεκα.

Ἡ δὲ βασιλὶς Θεοδώρα ἔξωρος τῆς αὐταρχίας κρατήσασα 29 10 βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι οὐκ ἤθελεν, ἀλλ' ἡδυνθεῖσα τῇ ἐξουσίᾳ, παρ' ὅσον ἐπεβίω τῇ βασιλείᾳ καιρόν, αὐτὴ τῶν ὅλων ἦν ἐγκρατής, πρὸς τοῦτο καὶ παρὰ τῶν αὐτῆς θεραπόντων ἐμβιβασθεῖσα, οὓς καὶ ταῖς μεγίσταις ἐπέστησε τῶν ἀρχῶν. τὴν δὲ τῶν πολιτικῶν πραγμάτων διοίκησιν τῷ συγ- 2 15 κέλλῳ Λέοντι, ὃς Παρασπόνδυλος ὠνόμαστο, ἐνεχείρισε τῷ

5 τελευτὴ τοῦ (om. A) Μονομάχου AE 9 μοναρχία τῆς βασιλίδος (βασιλίσσης A, βασιλείας E) Θεοδώρας AR, ἡ Θεοδώρα B

2 ἐμβέβηκε D ante νηὶ add. τῇ D πρὸς BC 5 αὐτῇ R(wp*Di*), αὐτὴ A κατὰ] τὸν D τοῦτο Rwp*Di*, τούτῳ A τῷ om. D 7 γινομένοις D, γενομένοις ex γινομένοις corr. E 8 post δώδεκα add. καὶ μῆνας ὀκτὼ D, καὶ μῆνας ὀκτὼ (ὀκτὼ om. CE, in spatio litterarum octo fere erasarum om. B, add. C_w) καὶ κατετέθη εἰς τὴν παρ' αὐτοῦ δομηθεῖσαν μονὴν τῶν μαγγάνων BCEwp*Di*; v. Psell. p. 199, 24 9 δὲ om. BC τῆς αὐταρχίας κρατήσασα ARwp, μοναρχήσασα BCduoP 10 ἡδυνθεῖσα $R_s$wp*Di*, ἡ δυνθεῖσα A 14 συγκέλλῳ (AR)p, συγγέλλῳ D, συγγέλῳ Ew 15 Στραβοσπόνδυλον Cedr. (Scylitz.) II p. 611, 14; Παρασπόνδυλος Psell. epist. (t. V. bibl. graec. med. aevi ed. Sathas) p. 565, 3, v. Maedlerum *Theodora, Michael Stratiotikos, Isaak Komnenos* Progr. gymn. Plav. Saxon. 1894 p. 5 15. p. 652, 1 τῷ π. ADE, τὸ π. wp*Di*, v. Cedr. l. c. p. 611, 15 (v. ann. sequ.)

conscensa ad magnam regiam appellit. Ibi et regiis satellitibus 20 et selectis senatoribus ad eam confluentibus, imperatrix ab omnibus est salutata, ut ad quam imperium iure hereditario pertineret. Ea res Monomacho dolorem auxit; cumque non amplius vixis- 21 set, quam ut suspirio dolorem et tristitiam inde acceptam significare posset, post regnum XII annorum exspiravit.

29. Regina THEODORA sola potita rerum iam effeta aetate, regem sibi adiungere noluit, sed delectata imperio, quoad vixit, omnia in sua potestate habebat idque consilio et opera ministrorum quoque suorum, quos summis magistratibus praefecit. Re- 2 rum civilium administrationem Leoni syncello, cognomento Pa-

3 πάλαι τῷ βασιλεῖ Μιχαὴλ ὑπηρετήσαντι. ἡ δὲ προὐκάθητο ἐπὶ
B βήματος καὶ ἐχρημάτιζε πρέσβεσι καὶ ἦν ἀρχαιρεσιάζουσα καὶ
δίκαις ἐνθεμιστεύουσα καὶ ψήφους ἐκφέρουσα καὶ διαιτῶσα
δημοσίαις καὶ κοιναῖς ὑποθέσεσι, καὶ εὔδαιμον ὑπῆρξεν αὐτῇ
4 τὸ αὐτοκρατές. οὔτε γάρ τις ἀντῆρε χεῖρα αὐτῇ οὔτ' ὀλιγώρως D I
πρὸς τὰ ἐκείνῃ δεδογμένα ὤφθη διατεθὲν τὸ ὑπήκοον οὔτ'
ἔθνος τότε κατὰ Ῥωμαίων κεκίνητο, ἀλλὰ καὶ εὐκρασία γέγονε
5 τῶν ὡρῶν καὶ ἡ γῆ τοὺς καρποὺς ἀφθόνους ἐξήνεγκεν. ἔξωρος
δέ, ὡς εἴρηται, καὶ πλήρης ἡμερῶν ἡ βασιλὶς αὕτη τῶν σκήπ-
τρων κρατήσασα ὅμως μακροὺς ἔτι τῆς ζωῆς ἑαυτῇ ἐπεμέτρει 10
ἐνιαυτούς. εἶχε δὲ καὶ τὸ σῶμα ἐρρωμενέστερον καὶ μὴ ῥᾷστα
C 6 πόνοις καμπτόμενον. ἐπεὶ δὲ καὶ ταύτην κατήπειγε τὸ χρεών,
εἴ καί τινες αὐτῇ μοναχοὶ αἰῶνας ἔτι ζωῆς ἐπηγγέλλοντο, καὶ
νόσῳ περιεπεπτώκει δεινῇ, ἣ τοῖς Ἀσκληπιάδαις ὠνόμασται εἰλεός,
καὶ τοῖς περὶ αὐτὴν αἱ ἐλπίδες αἱ περὶ αὐτῆς ἀπεγνώσθησαν, 15
συλλεγέντες βουλεύονται τίνα ἂν εἰς τὴν ἀρχὴν ἀντεισάξωσιν, ὃς
7 αὐτοῖς τὴν εὐετηρίαν τηρήσει καὶ τὸ εὐτύχημα. ἔδοξεν οὖν

1 ὅτι εὐτυχῶς ἤνυσε τὴν ἀρχὴν ἡ Θεοδώρα CE 17 ὅτι (ὅπως E) ὁ Στρατιωτικὸς Μιχαὴλ εἰς τὴν τῆς βασιλείας ἀνήχθη περιωπήν CE

p. 651, 15. 1 τῷ ὑπηρετήσαντι πρώην τῷ βασιλεῖ μιχαὴλ BC 3 ψήφες (αις supra) E 5 ἐγκρατές C, corr. Cw ἀντῆρε RwpDi, ἀντῆρε A (v. ad XVI 2, 1), ἐπεβούλευσε Psell. p. 201, 12 ὀλιγώρ C, corr. Cw
7 ἔθνη DEwp κεκίνη (τ supra) A, κεκίνητο RDi, κεκίνηντο DEwp 10 ἑαυτῇ om. BD 11 ἐρρωμενέστεφρον D 12 δὲ om. C, suppl. Cw 13 αὐτὴ B 14 ἀκληπιάδαις punctis notatum D ὠνόμαστο C 17 τηρήσει τ. εὐετηρίαν BC

raspondylo, mandavit, qui olim regi Michaëli operam navarat.
3 Ipsa vero pro tribunali praesidebat, legatis respondebat, magistratus creabat, ius dicebat, suffragia ferebat, sententiam suam in rebus privatis et publicis interponebat; ac fortunata fuit eius
4 gubernatio. Neque enim quisquam illi se opposuit, neque subiecti eius decreta neglexerunt, neque ulla gens cum Romanis bellum fecit, sed et anni tempora suam temperiem habuerunt et terra
5 uberes fructus tulit. Quamvis autem natu grandis, ut dictum est, sceptris potita esset, tamen longum etiam sibi vitae tempus fore sperabat, cum corpore firmiore esset, quod laboribus haud
6 facile cederet. Sed cum et ipsam fata urgerent, etsi monachi quidam nescio quot ei saecula vitae promittebant, et eius familiares ob morbum gravissimum, quem ileum medici vocant, de salute illius desperassent, in unum congressi deliberant, quis in eius locum substituendus esset, a quo prosperitas illa et felicitas con-
7 servaretur. Iis igitur deliberantibus talis visus est Michaël Stra-

πρὸς τοῦτο σφίσι κατάλληλος ὁ Στρατιωτικὸς Μιχαήλ, ἀνὴρ ἐκ Βυζαντίου μὲν γεγονώς, πρὸς πραγμάτων δὲ καὶ τοσαύτης ἡγεμονίας μεταχείρισιν ἀποπεφυκὼς ἔκ τε φυσικῆς νωθείας καὶ ἀφελείας καὶ διὰ χρόνου μῆκος, ὃ τῇ ἐκείνου παρεξετάθη ζωῇ.
5 ἤδη γὰρ οὐ γέρων ἦν, ὡς παρὰ τοῦ δημώδους πλήθους ὠνόμαστο, ἀλλὰ πρεσβύτης. τοῦτον οὖν πείθουσι τὴν Θεοδώραν ἀντικαταστῆσαι τῇ βασιλείᾳ. ἡ δὲ αὐτίκα ταινιοῖ τῷ βασιλείῳ τὸν Μιχαὴλ διαδήματι, πρότερον ὁρκίοις προκαταληφθέντα φρικώδεσι μήτι τῆς ἐκείνων γνώμης χωρὶς ἐπὶ ταῖς τῆς βασιλείας
10 οἰκονομήσασθαι διοικήσεσιν. ἐπὶ τούτοις τὴν βασιλίδα τὸ πνεῦμα ἐπέλιπε, μοναρχήσασαν ἔτος ἓν ἐπὶ ἐννέα μησίν.

8 1 / 9 / 10

LIBER DVODEVICESIMVS.

Ὃν οὖν εἴρηται τρόπον ὁ πρεσβύτης Μιχαὴλ αὐτοκράτωρ ἀναρρηθεὶς τοῖς μὲν τῆς γερουσίας καὶ τῷ δημώδει πλήθει καὶ παρὰ τὸ προσῆκον ὤπτο φιλοτιμότατος, ἕκαστον τούτων

1 W I P II / IV 183

10 τελευτὴ τῆς βασιλίδος Θεοδώρας CE 12 βασιλεία Μιχαὴλ Στρατιωτικοῦ τοῦ γέροντος AE, βασιλεία τοῦ Στρατιωτικοῦ (τ. στρ. om. D) Μιχαὴλ τοῦ γέροντος (τ. γερ. om. C) CD, βασιλεία Μιχαήλ B

1 σφίσι om. B στρατηγὸς D 2 post καὶ add. ταῦτα Rwp 3 μεταχείρισιν AR, μεταχείρησιν DCwwp, om. C 4 ἀφελείας Rwp*Di*, ἀμελείας A, ἀφελῆ Cedr. l. c. p. 612, 6 ὃ] ἣ C 6 βασίλισσαν BC*Wo* lat. 8 προκαταληφθέντα ARwp*Di*, καταληφθέντα DE, v. ad XVII 26, 21 9 τῆς] τῇ E 11 ἐξέλιπε DEwp 12 οὖν AEwp, δ' D, om. R 14 φιλοτιμώτατος Ewp, v. p. 655, 4

tioticus, vir Byzantius ille quidem, sed ad gerendas res tanti praesertim principatus tum ob naturalem socordiam et simplicitatem, tum ob aetatem longissimam ineptus. Neque enim senex erat, ut vulgo vocabatur, sed paene decrepitus. Persuadent igitur Theodorae, ut Michaëlem in imperio collocet; a qua statim diademate redimitus est, sanctissimo prius iureiurando adactus se nihil sine illorum consensu in regiis administrationibus decreturum. Quibus rebus peractis reginam spiritus defecit, cum annum et IX menses regnasset. 8 / 9 / 10

1. Michaël senex hoc modo imperator appellatus senatores et plebeiam multitudinem nimis benigne tractavit, ad dignitatum

εἰς βαθμοὺς προβιβάζων ἀξιωμάτων καὶ τιμὰς προσνέμων ἀκατ-
2 αλλήλους τοῖς πλείοσι. τοῖς δὲ στρατιωτικοῖς καταλόγοις καὶ
μάλιστα τοῖς τούτων ἐξόχοις, οἷς στρατάρχεῖν τε καὶ ἰλαρχεῖν
ἀπονενέμητο πρὸ πολλοῦ, καὶ λίαν ἀντιρρόπως τοῖς ἄλλοις ἐκέ-
3 χρητο. οὔτε γὰρ φιλότιμόν τι πρὸς αὐτοὺς ἐνεδείξατο ἄρτι 5
καταλαβόντας τὴν βασιλίδα τῶν πόλεων, οὔτε μὴν πραέσιν αὐ-
4 τοὺς ἐδεξιώσατο ῥήμασιν. ἤστην δὲ τούτων πρωτεύοντε ἄνδρε
B διττώ, μαγίστρω μὲν ὄντε καὶ ἄμφω, λαμπρὼ δὲ τὰ γένη, καὶ
οὐχ ἧττον στρατηγικῇ συνέσει καὶ κράτει χειρῶν καὶ θάρσει
5 ψυχῶν εἰχέτην τὴν περιφάνειαν. τούτων ἅτερος ἦν ὁ Κομνηνὸς 10
Ἰσαάκιος, ὁ δὲ λοιπὸς ὁ Κεκαυμένος Κατακαλών, ᾧ Κολώνεια ἡ
πατρίς, ὃν καὶ δοῦκα Ἀντιοχείας τυγχάνοντα ἅμα τῇ ἀναρρήσει
παρέλυσε τῆς ἀρχῆς, τὸν οἰκεῖον ἀνεψιὸν Μιχαὴλ μάγιστρόν τε καὶ
δοῦκα τῆς Ἀντιοχείας προχειρισάμενος καὶ Οὐρανὸν ἐκείνῳ θέ-
μενος τὸ ἐπώνυμον, ἵνα πρὸς τὸν ἀρχαῖον Οὐρανὸν ἀναφέρειν τὸ 15
6 γένος δοκῇ. τοῦτον τοίνυν τὸν Κεκαυμένον, ὡς δῆθεν μὴ κα-
C λῶς χρησάμενον τῇ ἀρχῇ, ἀλλὰ τάς τε δυνάμεις καταλελυκότα
καὶ φορτικὸν τοῖς ὑπὸ χεῖρα γενόμενον, καὶ ἐπέπληξεν ἰτα-
7 μώτερον καὶ ὀνείδεσιν ἔβαλε καὶ οὐδ' ἐφείσατο ὕβρεων, ἀλλὰ
καὶ τῶν ἄλλων λαμπροτάτων ἀνδρῶν καὶ συνταγματαρχούντων 20

2 ὅτι τοῖς στρατιωτικοῖς ἄρχουσιν οὐ δεξιῶς ἐχρήσατο ὁ βασιλεὺς Μιχαήλ C

1 βαθμοὺς RwpDi, βαθμοῖς A 2 πλείοσι RwDi, πλείοσιν A (v. ad XIII 1, 5), πλείωσι p* 5 ἐπεδείξατο Rwp 8 δὲ om. B 9 στράτει χ. D χειρῶν RwpDi, om. A 10 τὴν om. D 13 post μιχαὴλ add. αὐτίκα Rwp τε om. BC 15 ἀναφέρει D 15. 16 δοκῇ τὸ γένος DE(wp) 19 καὶ οὐδ'—p. 655, 3 ἐνέβαλε om. D, v. ad § 8

gradus promovendo et honores plerisque tribuendo, qui illorum
2 captum excederent. Cum militaribus autem catalogis ac iis potissimum, qui ceteris antecellentes multo ante exercituum ala-
3 rumque ductores fuerant, longe secus agebat. Neque enim iis urbem modo ingressis ullum honorem habuit, neque benignis
4 alloquiis eos delenivit. Eorum primarii duo viri fuere, uterque magister et illustri genere ortus splendorem illum imperatoria arte
5 et labore manuum et fiducia animorum assecutus, alter Comnenus Isaacius, alter Cecaumenus Catacalo, patria Coloneensis, cui, simulatque designatus fuit imperator, Antiochiae ducatum ademerat suumque consobrinum Michaëlem statim magistrum et ducem Antiochiae declaraverat, Urani cognomento addito, ut genus
6 ad veterem illum Uranum referre videretur. Eum igitur Cecaumenum, quasi male gesto magistratu et copiis militaribus imminutis et gravem obvio cuique, et acrius obiurgavit et ne probris
7 quidem et contumeliis abstinuit, cumque ceteri splendidissimi viri,

ἐκείνῳ ὑπεραπολογήσασθαι τοῦ ἀνδρὸς ὡρμηκότων, οὐδ' ἐπ' ἐκείνους τῆς γλώττης ἐφείσατο οὔτε μὴν αὐτὸν ᾐδέσθη τὸν Κομνηνόν. ταῦτα τοὺς στρατιώτας εἰς ἀθυμίαν ἐνέβαλε, τοῖς 8 μὲν ἄλλοις φιλοτιμότατον ὁρῶντας τὸν Μιχαήλ, αὐτοῖς δὲ μηδ' 184 ἐν λόγοις τὸ εὐμενὲς ἐνδεικνύμενον, ὅμως μέντοι ἐπέσχον μηδέν τι νεωτερίσαι, ἀλλὰ καὶ δευτέραν πεῖραν ἐπαγαγεῖν ἐβουλεύσαντο.

Ἀλλ' ἑτέραν κατὰ τοῦ βασιλέως προτέραν τούτων ὁ λόγος 9 D διηγησάσθω νῦν ἐπανάστασιν. ὁ γὰρ τοῦ βασιλέως Κωνσταν- 10 10 τίνου τοῦ Μονομάχου ἐξάδελφος ὁ πρόεδρος Θεοδόσιος, ἄρτι τοῦ Μιχαὴλ ἀναρρηθέντος, ἐν δεινῷ ποιησάμενος τὴν ἐκείνου ἀνάρρησιν, τοὺς οἰκείους θεράποντας προσλαβόμενος καί τινας ἄλλους ὅσοι κατ' ἐκεῖνον ἐλαφρίαν ἐνόσουν φρενῶν, περὶ δείλην ὀψίαν διὰ τῆς ἀγορᾶς ἀπῄει, τούτοις δορυφορούμενος, ἑαυτῷ 15 προσήκειν τὸ κράτος λέγων διὰ τὴν πρὸς τὸν Μονομάχον συγγένειαν καὶ ἀδικεῖσθαι ἐπιβοώμενος. γενόμενος δὲ κατὰ τὴν 11 δημοσίαν εἱρκτήν, ᾗ Πραιτώριον κέκληται, τὰ κλεῖθρα διαρ- P II 264 A ρήξας τοῖς ἐν αὐτῇ καθειργμένοις ἄνετον παρέσχε τὴν ἔξοδον.

8 ἀποστασία τοῦ Μονομάχου Θεοδοσίου CE

2 ἐφείσατο Rwp, om. A*Di*, v. Psell. p. 211, 2 4 ἑαυτοῖς Rwp 5 post ἐνδεικνύμενον add. quae supra omisit (v. ad p. 654, 19) D, sed initio supplementi habet καὶ οὐδὲ ὕβρεων πρὸς αὐτοὺς ἐφείσατο, exitu ἐνέβαλεν 6 νεωτερῖσαι (sic) A, v. ad XVII 27, 10 εἰςαγαγεῖν C 8. 9 προτέραν δ' ὁ λόγος ἑτέραν κατὰ τοῦ βασιλέως διηγησάσθω νῦν ἐπανάστασιν· καὶ οὕτως (οὕτω w*p) πρὸς τὴν τῶν ἀνδρῶν τούτων ἐπανελεύσεται BCwp 9 γὰρ om. BC 11 ἀρρηθέντος D 14 τούτοις om. D 17 κέκτηται D, λέγεται B

eius collegae, hominem defensuri essent, ne contra illos quidem linguae moderatus aut ipsum Comnenum reveritus est. Ea res 8 militum animos deiecit, qui Michaëlem, in ceteros liberalissimum, se ne verborum quidem benignitate dignari viderent, neque tamen ad res novandas concitati sunt, priusquam denuo periculum eius facerent.

Sed antequam ad illorum seditionem veniam, alius motus 9 est exponendus. Regis Constantini Monomachi patruelis, Theo- 10 dosius praeses, Michaëlis designationem aegre ferens, statim ministris suis assumptis et nonnullis eadem animi levitate laborantibus ascitis, crepusculo iis satellitibus circumdatus per medium forum incessit, imperium ob Monomachi cognationem ad se pertinere dicens atque iniuriam sibi fieri clamitans. Cum vero ad 11 publicum carcerem, qui Praetorium dicitur, venisset, claustris

12 τὸ δ' αὐτὸ καὶ ἐν τῇ τῆς Χαλκῆς εἰργάσατο φυλακῇ, ἐλπίσας
13 διὰ τούτων τοῦ κατὰ σκοπὸν ἐπιτεύξεσθαι. ὡς δ' ἔμαθε στρατιωτικὴν ἀθροίζεσθαι περὶ τὰ βασίλεια δύναμιν καὶ ἤδη στέλλεσθαι κατ' αὐτοῦ, πρὸς τὴν μεγάλην τρέπεται ἐκκλησίαν καὶ μόνος σὺν τῷ υἱῷ περιλειφθείς, τῶν ἑπομένων αὐτῷ διασκε- 5 δασθέντων, τῇ ἐκκλησίᾳ προσπέφευγεν· ὅθεν ληφθεὶς ὑπερορίαν
14 κατεδικάσθη. εἰς τοῦτο δὲ τέλους τοῦ ἐπιχειρήματος αὐτῷ καταντήσαντος, ὁ δημώδης ὄχλος ἐπεγγελῶντες αὐτῷ ῥήματά τινα συνθέντες ἐπῇδον αὐτῷ· τὰ δ' ἦσαν·

B ὁ μωρὸς ὁ Μονομάχος, εἴ τι ἐφρόνει, ἐποίησε. 10

2 Καὶ ταῦτα μὲν ἔσχον οὕτως· οἱ δ' ἐμπαροινηθέντες τῶν ἑῴων ἀρχόντων καὶ αὖθις πεῖραν προσάγουσι καὶ προσίασι τῷ τὰ κοινὰ διοικοῦντι τῷ πρωτοσυγκέλλῳ Λέοντι καὶ ἱκετεύειν δι' ἐκείνου D I
W III 210 ἐπεχείρουν τὸν βασιλέα, μὴ μόνοι αὐτοὶ καταλειφθῆναι ἀγέραστοι, πάντων τοῦ φιλοτίμου καταπολαυσάντων τοῦ αὐτοκράτορος, καὶ 15 ταῦτα τῶν ἄλλων εὐπαθούντων αὐτοὶ καὶ παρ' ἀσπίδα ἱστάμενοι
2 καὶ προπολεμοῦντες τῆς Ῥωμαίων ἀρχῆς. ὁ δὲ οὐδὲν ἧττον τοῦ βασιλέως ἀδέξιος ὢν μεταχειρίσασθαι λυπουμένους ἄνδρας

11 προσέλευσις τῶν στρατιωτικῶν ἀρχόντων πρὸς τὸν Παρασπόνδυλον CE

2 ἐπιτεύξασθαι BDEwp 5 περιλειφθεὶς RwpDi, περιληφθεὶς AD 5. 6 τῶν ἑπομένων—ὅθεν ληφθεὶς om. D 6 τῇ ἐκκλησίᾳ προςπέφευγεν AE (v. Cedr. l. c. p. 613, 16), ἐξάγεται τῆς ἐκκλησίας BCwp 7 τέλους AR, τέλος w*p αὐτοῦ BC 8 ἐπεγγελῶντες αὐτῷ AR, ἐπιχλευάζοντες αὐτὸν BC, ἐπιγελῶντες αὐτῷ w*p 10 ἐποίησε R^s wpDi, ἐποίησεν A, v. ad XIII 1, 5 11 δὲ παροινηθέντες BC 13 πρωτοσυγκέλλῳ AOp, πρωτοσυγκέλῳ E(w) 17 πρὸ πολεμοῦντες (sic) A

12 perruptis exitum clausis patefecit. Idem in ea quoque custodia fecit, quae ad Chalcen est, eorum opera se voti sui fore com-
13 potem sperans. Verum ubi cognovit militares copias circa regiam contra se collectas iamiam affore, ad magnam ecclesiam convertitur, in quam solus cum filio relictus, gregalibus suis dilapsis,
14 profugit, unde eductus relegatur. Hoc eventu conatum eius consecuto, plebeia multitudo per ludibrium hanc cantilenam in eum cecinit:

Fatuus Monomachus, quod cogitavit, egit.

2. Ceterum orientales duces iniuriis affecti, denuo fortunam periclitaturi, Leonem protosyncellum communia negotia procurantem adeunt, eo intercessore regem precaturi, ne soli neglegerentur, cum ceteri omnes liberalitatis imperatoriae fructum aliquem percepissent; praeterea ceteris suaviter viventibus, se
2 in acie stantes pro salute Romani imperii propugnare. At ille nihilo peritior rege tractandi viros dolentes et tumorem ex do-

καὶ καταστεῖλαι τὸ ἐκ τῆς λύπης αὐτοῖς γενόμενον οἴδημα, οὐ
μόνον οὐκ ἐλέανε λόγοις τῶν ἀνδρῶν τὴν τραχύτητα, ἀλλὰ καὶ C
μᾶλλον αὐτοὺς ἐξετράχυνεν, ἐκφαυλίσας ἕκαστον καὶ ἀτίμως
πάντας ἀποπεμψάμενος. οὕτως οὖν καὶ τῆς δευτέρας πειρα- 3
5 θέντες πείρας οὐκέτι μέλλειν ἔκριναν, ἀλλ' ἕκαστος τὸν πλησίον
παρακροτήσαντες ἔσπευδον εἰς προὖπτον ἐκφῆναι τὸ μελετώμενον.
ἔδοξεν αὐτοῖς καὶ τὸν Βρυέννιον σχεῖν συνίστορα καὶ συλλή- 4
πτορα τοῦ ἐπιχειρήματος, ὄντα τε τῶν ἐπιφανῶν καὶ στρατη-
γοῦντα τῶν ἐκ Μακεδονίας δυνάμεων καὶ τὴν τῆς Καππαδοκίας
10 περιεζωσμένον ἀρχήν, λύπης τ' αἰτίας κἀκεῖνον ἐσχηκότα κατὰ
τοῦ αὐτοκράτορος. ὡς δ' οὖν κἀκεῖνον ἕτοιμον εὗρον πρὸς 5
τὸ σφέτερον βούλευμα, ἐζήτουν τὸν ἐξ αὐτῶν βασιλεύσοντα,
καὶ πᾶσιν ὁ Κομνηνὸς ἁπάντων προυκέκριτο. ἐπεὶ δὲ ταῦτα 6 D
συνέθεντο, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν, τῷ βασιλεῖ προσ-
15 ειπόντες τὰ ἐξιτήρια.

Ἀπῄει δὲ καὶ ὁ Βρυέννιος μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων 7
καὶ ἐν τῷ θέματι τῶν ἀνατολικῶν γεγονὼς τὴν τῶν στρατιω-
τικῶν ὀψωνίων διανομὴν ἐκεῖ διετίθετο· συνῆν γὰρ αὐτῷ καὶ
ὁ πατρίκιος Ἰωάννης ὁ Ὀψαρᾶς χρυσίον ἐπιφερόμενος. ἤδη 8

16 ὅπως ὁ Βρυέννιος (βρυένιος C) ἐτυφλώθη CE

1 αὐτοῖς RwpDi, αὐτῆς A 2 ἐλέαν ἐν λόγοις E, ἐλέανεν ἐν λόγοις w*p ταχύτητα C, corr. Cw 5 μέλειν B 6 παρακροτοῦντες D ἐκφῆναι RwpDi, ἐκφύναι A τὸ] τὸν D 7 ἔδοξεν A, ἔδοξεν οὖν DEwp, ἔδοξε δ' R βρυένιον BC (sic constanter) 9 Καππαδοκίας] μακεδονίας DE 10 τὲ D 16 καὶ om. D 16. p. 658,1 βρυένιος BC, v. ad § 4 16 αὐτῶν D

lore ortum reprimendi, virorum asperitatem adeo non leniit, ut etiam augeret singulis obtrectando omnesque sine honore dimittendo. Hac secunda repulsa irritati non diutius sibi cunctandum 3 esse censuerunt, sed alius alium cohortatus facinus animo conceptum ad exitum perducere decreverunt. Visum autem iis est 4 Bryennium quoque, virum illustrem, Macedonicarum copiarum ducem et Cappadociae praefectum, in consilium et auxilium adhibere, qui causas et ipse simultatis contra imperatorem haberet. Qui cum operam promisisset, in deliberatione regis deligendi 5 omnibus sententiis Comnenus ceteris est praelatus. His compo- 6 sit domum omnes redierunt, discessu regi denuntiato.

Abiit et Bryennius cum suis legionibus; cumque in orien- 7 talem provinciam una cum Ioanne Opsara patricio, qui aurum afferebat, venisset, militarium stipendiorum distributionem ibi administrabat. Qua iam incohata Bryennius singulis militibus 8

δὲ τῆς διανομῆς ἠργμένης ὁ Βρυέννιος προσετίθει τοῖς στρατιώταις τὰ σιτηρέσια καὶ ηὔξει τὸ ἑκάστῳ νενεμημένον ποσόν.
9 ὁ δὲ τοῦ χρυσοῦ ταμίας ὁ εἰρημένος ἀνὴρ μὴ τοῦτο ἔλεγεν D
ἐντετάλθαι οἱ πρὸς τοῦ αὐτοκράτορος. καὶ ὁ Βρυέννιος σιωπᾶν
10 αὐτῷ καὶ ποιεῖν τὸ ἐπιτασσόμενον ἐνεκελεύετο ἰταμώτερον. ὡς 5
δ' ἔτι ὁ Ὀψαρᾶς οὐκ ἐπείθετο, ἀλλὰ καὶ θρασύτερον ἐκείνῳ
P II 265 A ἀντέλεγεν, ὁ Βρυέννιος θυμῷ ληφθεὶς ἀνέθορέ τε τῆς καθέδρας
καὶ τῶν τριχῶν τῆς τε ὑπήνης λαβόμενος τοῦ ἀνδρὸς προσ-
11 αράσσει τῇ γῇ καὶ περιβάλλει δεσμοῖς. ἐγγὺς δέ που στρατο-
πεδεύων ὁ τῶν Πισιδῶν καὶ Λυκαόνων στρατάρχης καὶ τὰ 10
περὶ τοῦ Ὀψαρᾶ μαθὼν καὶ τυραννίδος ταῦτα κρίνας ἀρχήν,
ἀθρόον ἔπεισι μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων τῇ τοῦ Βρυεννίου
12 σκηνῇ. καὶ δεσμεῖ μὲν ἐκεῖνον, λύει δὲ τὸν Ὀψαρᾶν τῶν δε-
σμῶν καὶ αὐτῷ τὸν Βρυέννιον παραδίδωσιν· ὁ δὲ αὐτίκα τοὺς
ὀφθαλμοὺς ἐκκόπτει ἐκείνου, καὶ οὕτως τὸν ἄνδρα τῷ βασιλεῖ 15
ἐξαπέστειλεν, ἐπιστείλας αὐτῷ καὶ ὅσα τετόλμηκε.
13 Καὶ ταῦτα μὲν συνεκύρησεν οὑτωσί· ὁ δέ γε Κομνηνὸς
B καὶ οἱ ἐκείνῳ συνομοσάμενοι συνελθόντες ἔργου ἥπτοντο, τῶν
στρατιωτικῶν καταλόγων ἄλλοθεν ἄλλου προσρυϊσκομένων αὐτῷ.

17 *ἀποστασία τοῦ Κομνηνοῦ καὶ τῶν λοιπῶν στρατιωτικῶν ἀρχόντων* CE

1. 2 *τὰ σιτηρέσια* ante *τοῖς* C 4 *παρὰ* D *κρατοῦντος* BC 4. 7 *βρυένιος* BC, v. ad § 4 5 *ἐνεκελεύετο* Rwp*Di*, *ἐκελεύετο* A 6 *ψαρᾶς* D 8 post *τῶν* add. *τῆς κεφαλῆς* BCwp *προσαράττει* BC 9 *στρατεύων* D 10 ante *λυκ.* add. *τῶν* Ewp 12 *αὐτὸν* Rwp*Di*, *αὐτῶν* A *βρυενίου* BC, v. ad § 4 14 *βρυένιον* BC, v. ad § 4 14. 15 *ἐκκόπτει ἐκείνου τὰ ὄμματα* BC 15 *οὕτω* DEwp*Di*, v. ad XIII 6, 16 16 *ἐξαπέστειλεν* Rwp*Di*, *ἐξαπέστειλε* A, v. ad XIII 1, 5 18 *συνωμοσάμενοι* O *εἴχοντο* BC 19 *αὐτοῖς* Rwp

9 frumentum admetiebatur et pecuniae summam augebat. Opsaram vero quaestorem negantem se ab imperatore id in mandatis habere Bryennius tacere et, quod imperaretur, facere insolentius
10 iussit. Etiam tum detrectantem et audacius refragantem Bryennius ira percitus de sella exsiliens, arrepta eius coma et barba,
11 solo illisum in vincula conicit. Quo dux Pisidarum et Lycaonum, qui castra in propinquo habebat, cognito, id facinus tyrannidis principium iudicans Bryennii tabernaculum cum suis legionibus
12 ex improviso invadit solutoque Opsarae Bryennium vinctum tradit, qui hominem statim effossis oculis ad regem cum rerum eius commemoratione misit.
13 Quibus rebus gestis Comnenus una cum coniuratis in unum congressi rem urgebant, ex militaribus catalogis aliunde alio ad

ἦν μὲν γὰρ τῷ στρατιωτικῷ παντὶ ἔφεσις στρατιώτην τὴν βα- 14
σίλειον ἀρχὴν περιζώσασθαι. ἤχθετο γὰρ ὑπὸ τοῦ πολιτικοῦ 15
μέρους ἀρχόμενον, ἀλλ' οὐκ ἐθάρρει τὸν πόθον εἰς προῦπτον
ἐξενεγκεῖν, ἔκρυπτε δὲ τὸν ἔρωτα καὶ ὤδινε τὸν περὶ τούτου
5 *σκοπόν. ἐπεὶ δὲ τὸν Κομνηνὸν τυραννίδι ἐπιχειρήσαντα με-* 16
μαθήκεσαν καὶ αὐτὸν μὲν κορυφαῖον εἶναι τοῦ δράματος, τὰ
δὲ κράτιστα τῶν γενῶν τῆς ἐπιχειρήσεως αὐτῷ συλλαμβάνεσθαι,
τοῦτ' εἶναι τὸ ὑπ' αὐτῶν μελετώμενον δόξαντες, ἁρπάζουσι τὸν
καιρὸν καὶ ἕκαστος τὸν πέλας προφθάσαι ἠπείγετο. ἐντεῦθεν 17 C
.87 *τῷ Κομνηνῷ βαρεῖα συνέστηκε δύναμις· στείλας οὖν κατὰ ξύμ-*
πασαν τὴν ἑῴαν τοὺς φόρους ἐπράττετο, ἀποδεκτῆρας τούτων
τάξας καὶ τῶν προσαγομένων ἀπογραφεῖς. εἶτα ἄρας ἀπῄει 18
πρὸς Νίκαιαν ἤδη βασιλεὺς πρὸς πάντων τῶν σὺν αὐτῷ στρα- W III 211
τευομένων ἀναρρηθείς, ταύτης ἐγκρατὴς γενέσθαι βουλόμενος,
15 *ἵν' ἔχοι τὴν πόλιν ὁρμητήριον ἢ κρησφύγετον, ὁποτέρως ἂν*
ῥέψῃ τὰ τῆς τύχης αὐτῷ· καὶ τὴν μὲν λαμβάνει, αὐτὸς δὲ 19
φρουρὰν ἀρκοῦσαν ἐγκαταστήσας αὐτῇ πρὸ δώδεκα σταδίων
ταύτης στρατοπεδεύεται.

Καὶ ὁ βασιλεὺς δὲ Μιχαὴλ τὰς δυτικὰς ἀγείρας δυνάμεις, 20

12 *ὅτι ἐκράτησε τῆς* (om. C) *Νικαίας ὁ Κομνηνός* CE

1 *στρατιώτης* D 2 *πολεμικοῦ* B 5 *ἐπιχειρήσαντα* Owp*Di*, *ἐπι-χειρίσαντα* AE 6 *αὐτὸ* D 8 *αὐτῶν* Owp*Di*, *αὐτὸ* A, *αὐτῶν* ex *αὐτὸν* corr. E 9 *προφθάσαι τ. πέλας* BC 12 *γράψας* D *κομιζομένων* B 13 *σὺν αὐτῷ* om. D 15 *ἔχῃ* E(wp) *σκρη|φάγετον* D 17 *αὐτῇ* Rwp*Di*, *αὐτὴν* A, *αὐτῶ* C, corr. Cw

ipsum confluente. Omnibus enim militibus in votis erat, ut miles 14
imperio potiretur. Nam iniquis animis togato parebant neque 15
tamen desiderium suum prodere ausi cupiditatem illam, dum
maturandae rei offerretur occasio, tegebant. Verum ubi Comne- 16
num regnum affectasse compererunt eumque primas partes
agere, a fortissimis gentibus adiutum, id demum esse rati, quod
animis diu agitassent, arrepta opportunitate alii alios antever-
tere properarunt. Unde Comnenus maximis copiis comparatis, 17
tributa per totum Orientem exigebat, quaestoribus et inscriptori-
bus eorum, quae allata essent, constitutis. Deinde Nicaeam ver- 18
sus movit iam rex ab omnibus suis militibus appellatus, ea urbe
adducto exercitu desertores perterritos in belli societatem recepit. Deinde Theodosopolim profectus singulos binorum mensium 8 commeatum secum ferre iussit, quod per loca deserta iter facturus esset, divisoque exercitu Ruselium Latinum, virum bellicosissimum, una parte attributa, contra Chliatum misit; alium quen- 9 dam, altera parte attributa, Manziciertum vastare iussit, reliquos bello gerendo non pares ipse rex retinuit. Ac Manziciertum 10 quidem, Turcis perterritis, fide accepta et urbe relicta, deditionem fecit. Milites autem pabulatum egressi ab hostibus sunt 11 subito oppressi; quo rex cognito magistrum Nicephorum Bryen- 12 nium cum aliquot cohortibus adversus eos misit, qui cum Turcis congressus cum suas copias fatigatas videret, subsidium petiit. Rex vero hostium vires ignorans Bryennium ignaviae accusavit 13 viroque succensebat. Accidit autem, ut sacerdos tum evange- 14

τὸ εὐαγγέλιον καὶ λέγων "εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν."
15 ὅμως ἔστειλε καὶ τὸν μάγιστρον Νικηφόρον τὸν Βασιλάκιον
μετὰ μοίρας στρατιωτῶν, ὧν προστεθέντων τῷ Βρυεννίῳ μέχρι D IV
16 μέν τινος ἰσοπαλὴς ἦν ὁ ἀγών. εἶτα τοῦ Βασιλακίου ὁρμή-
B σαντος ἐν προμάχοις κατὰ τῶν ἐναντίων μετὰ τῶν περὶ αὐτόν, 5
τὰ νῶτα ἔτρεψαν οἱ πολέμιοι, ὁ δὲ ἐδίωκε, τοῦ Βρυεννίου σὺν
17 τοῖς ἀμφ' αὐτὸν μὴ διώκοντος. ὡς δὲ περὶ τὸν χάρακα τῶν
ἐναντίων ἐγένετο, πληγέντος αὐτῷ τοῦ ἵππου, ἀπέβη αὐτοῦ καὶ
διὰ τὸ τῶν ὅπλων βάρος οὐκ εὐκίνητος ὢν κυκλοῦται παρὰ
18 τῶν πολεμίων καὶ ζωγρηθεὶς τῷ σουλτάνῳ προσάγεται· οὔτε 10
W III 224 δ' ἐκεῖνος δουλικώτερον αὐτῷ προσῄει οὔτε μὴν ὁ σουλτὰν
ὡς αἰχμαλώτῳ αὐτῷ προσήνεκτο, συχνάκις δὲ τὸν ἄνδρα μετα-
καλούμενος περὶ τοῦ βασιλέως διεπυνθάνετο καὶ τὰς οἰκείας
19 δυνάμεις ἐδείκνυεν. ὁ δὲ καὶ ἐπῄνει τὰ τοῦ σουλτὰν καὶ ἐθαύ-
μαζεν, οὐ μέντοι συμφέρειν αὐτῷ ἔλεγεν ἀντιπαρατάξασθαι τῷ 15
C 20 βασιλεῖ. ὁ δέ γε βασιλεὺς μετὰ τῶν περιλοίπων ἐξῆλθε τοῦ
χάρακος κατασκοπήσων τί τὸ γινόμενον, ἑστὼς δ' ἐπὶ γεωλόφων
21 μέχρις ἑσπέρας ὑπέστρεψε. καὶ οἱ Τοῦρκοι δ' εὐθὺς ἐκύκλωσαν

1 *εὐαγγέλιον*] Ioann. XV 20 *διώξουσιν* RwpDi, *διώξουσι* A, v. ad XIII 1, 5 3 *βρυεννίω* RwpDi, *βρυενίω* ACE 4 *μέν* om. C 5 *κατὰ τ. ἐναντίων* ante *ἐν* C *κατὰ τῶν ἐναντίων* om. E *αὐτὸν* ex *αὐτῶν* corr. A 6 *ἔστρεψαν* B_8Dwp *βρυεννίου* RwpDi, *βρυενίου* AC 7 *αὐτῶν* D *παρὰ* B 10 *ζῶν παραληφθεὶς* C 10. 11 *οὔτ' ἐκεῖνος* C 12 *προσενήνεκτο* O, v. ad XV 29, 6 14 ante *δυν.* add. *αὐτῷ* C *καὶ* prius om. C *τὰ* om. p* *σουλτὰν* OwpDi, *σουλτᾶν* AE, v. ad XVII 25, 21 *ἐθαύμαζεν* RwpDi, *ἐθαύμαζε* A, v. ad XIII 1, 5 15 *συμφέρον* D 15. 16 *ἔλεγε τῷ βασ. ἀντιπαρατάξασθαι* C 16 *λοιπῶν* B 18 *εὐθὺς* post *καὶ* DEwp, post *τοῦρκοι* C *τούρκοι* w*p *δ'* om. Owp

lium illud recitaret: "Si me persecuti erunt, et vos persequentur."
15 Et tamen magistrum Nicephorum Basilacium cum parte copiarum
misit, quibus Bryennio coniunctis aliquantisper utrimque par
16 certamen fuit. Deinde Basilacius cum suis, Bryennio non con-
17 secuto, inter primos invectus hostes in fugam coniecit; quos dum
ad vallum usque persequitur, equo vulnerato in pedes desiluit
et, quia prae armorum pondere parum se movere poterat, ab
18 hostibus circumventus capitur. Dum vero ad sultanum addu-
citur, nec ipse aliter, quam virum ingenuum decet, se gerit nec
sultanus eum pro captivo tractat, sed saepius arcessitum de rege
19 interrogat, copiis suis ostentatis. Quas ille etsi admiratus lau-
dabat, tamen e re eius esse negabat, ut cum rege decerneret.
20 Rex vero cum reliquiis exercitus vallo egressus, ut specularetur
21 quid fieret, in collibus usque ad vesperum stetit. Cum in castra

τὸ στρατόπεδον καὶ τοῦτο περιππεύοντες βέλη ἔβαλον καὶ βοαῖς
ἀσήμοις καὶ ὑλακαῖς περιήχουν τὴν στρατιάν. οὕτω μὲν οὖν 22
ἡ νὺξ ἐκείνη παρῆλθεν· ἕωθεν δὲ Οὔζων τι σύνταγμα πρὸς
τοὺς πολεμίους ἀπηυτομόλησε. καὶ τοῦτο ὕποπτον καὶ τὸ μεῖ- 23
5 ναν ἔτι πλῆθος τῶν Οὔζων ἐποίησεν.

Ὁ δὲ βασιλεὺς ὀξύτατα πέμψας εἰς τὸ Χλιὰτ μετεκαλεῖτο 14
τὰ ἐκεῖσε στρατεύματα. ὡς δ' οὐκ ἀφίκοντο (ὁ γὰρ Ταρχα- 2
νειώτης, οὗτος γὰρ ἦν ὁ εἷς τῶν ἐκεῖ στρατάρχων, μαθὼν τοῦ
σουλτάνου τὴν ἄφιξιν, παρέπεισε καὶ τὸν Ῥουσέλιον, καὶ μετὰ D
10 τῶν ὑπ' αὐτοὺς δυνάμεων ἄραντες φυγῇ πρὸς τὰ Ῥωμαίων
V 214 ἐχώρησαν ὅρια), ἔγνω ὁ Διογένης μετὰ τῶν συνόντων αὐτῷ
διαγωνίσασθαι ἐς τὴν αὔριον καὶ ἅμα πρωὶ πρὸς τὸν πόλεμον
ἐξηρτύετο. ἐν τούτῳ δὲ πρέσβεις ἧκον ἐκ τοῦ σουλτάνου περὶ 3
εἰρήνης διαλεξόμενοι. ὁ δὲ βασιλεὺς οὐ πάνυ φιλανθρώπως 4
15 τοὺς πρέσβεις ἐδέξατο, ὅμως μέντοι καὶ λόγων σφίσι μετέδωκε
καὶ ἀπελθεῖν πρὸς τὸν κύριον αὐτῶν προετρέψατο καὶ ἀπαγ-
γεῖλαι ὡς "εἰ βούλοιτο περὶ συμβάσεων διαλέξεσθαι, καταλιπέτω

3 ὅτι Οὔζοι (οὗτοι E) πρὸς τοὺς Τούρκους ηὐτομόλησαν, καὶ ὅτι μετεκαλέσατο καὶ (om. E) τὸ στράτευμα CE, ὃ διεῖλεν ὁ βασιλεύς· οἱ δὲ οὐκ ἀφίκοντο, καὶ ὅτι τοῦ βασιλέως ἑτοιμαζομένου πρὸς πόλεμον ἐκ τοῦ σουλτὰν πρέσβεις ἥκασι περὶ εἰρήνης C 6 περὶ τοῦ βασιλέως E

1 παριππεύοντες B ἔβαλον ARwp, ἔβαλλον BC*Di* 2 ὑλαχαῖς p* 6 Χλιὰτ] v. ad XVIII 13, 8 6 μετακαλεῖται BDEwp 7 ταρχανειώτης ARwp Scylitz. p. 695, 19, ταρχανιώτης C, χαρτανειώτης E 8 στρατιαρχῶν B, v. ad XVII 6, 12 9 σουλτάνου AC Scylitz. l. c., σουλτὰν Rwp καὶ ante τὸν om. C 10 φυγῇ O(wp*Di*), φυγὴ AE 12 ἐς ARwp Scylitz. p. 696, 1, εἰς B, v. ad XIV 12, 14 13 ἦλθον BD σουλτάνου A Scylitz. l. c., σουλτὰν Rwp 17 διαλέξασθαι BsDEwp*Di*, v. ad XIV 5, 2

rediisset, Turci ea circumdederunt et obequitantes tela coniecerunt, clamoribus inconditis et ululatibus exercitum circumsonantes. Hoc modo nocte illa exacta, mane Uzorum quaedam cohors 22
ad Turcos transfugit atque eos etiam Uzos, qui manserant, su- 23
spectos fecit.

14. Rex igitur celerrime ad revocandos exercitus Chiatum misit. Qui cum non venissent (nam Tarchaniotes, unus ex illic 2
ducibus, cognito sultani adventu Ruselio persuaserat, ut una cum suis copiis in Romanorum fines confugeret), decrevit Diogenes postridie cum suis Martis aleam experiri atque mane pugnam paravit. Interea legati a sultano venerant de pace acturi, 3
quos quamquam rex parum humaniter suscepit, tamen et dicendi 4
copiam fecit et hortatus est, ut suo domino renuntiarent, si de

τὸν τόπον ἐν ᾧπερ ἐστρατοπέδευται καὶ πόρρω ποι μετασκηνω-
P II 283 A *σάτω, ὥστε με μετὰ τῆς Ῥωμαϊκῆς στρατιᾶς τὸν χάρακα πή-*
5 *ξασθαι, ὅπου νῦν ἐστιν ἡ τῶν βαρβάρων παρεμβολή."* *ταῦτα*
τοῖς πρέσβεσι διαλεχθεὶς ἀλαζονικώτερον συντόμως ἐπανελθεῖν
6 *ἐνετείλατο. οἱ μὲν οὖν τῷ σουλτὰν τοὺς τοῦ βασιλέως λόγους* 5
ἀπήγγελλον, κἀκεῖνος μετὰ τῶν περὶ αὐτὸν περὶ τῶν τῆς εἰ-
7 *ρήνης συνθηκῶν ἐβουλεύετο. ὁ δέ γε βασιλεὺς ὑπερφρονήσας*
καί τισι πεπεισμένος τῶν ᾠκειωμένων αὐτῷ δεδειλιακέναι λέ-
γουσι τὸν σουλτάν, ὡς μὴ ἀξιόμαχον ἐπαγόμενον δύναμιν καὶ
διὰ τοῦτο τὴν εἰρήνην ζητεῖν, ἵνα τῆς μάχης ὑπερτεθείσης καὶ 10
ἄλλην δύναμιν προσαγάγηται, μήτε τὴν τῶν πρέσβεων ἀναμείνας
ὑποστροφὴν μήθ' ἕτερόν τι σκοπήσας τοῖς σαλπιγκταῖς ἐκέλευ-
B 8 *σεν ἠχῆσαι τὸ ἐνυάλιον. τοὺς δὲ βαρβάρους τὸ αἰφνίδιον διε-*
θρόησεν, ἀλλὰ καὶ οὕτως εἰς ἀντιπαράταξιν ἔστησαν καὶ ἐπ-
ιόντων αὐτοῖς τῶν Ῥωμαίων οὐκ ἀντεπῄεσαν, ἀλλ' ἀνεχάζοντο, 15
9 *μήτε τὰ νῶτα τρέποντες μήτε μέντοι μαχόμενοι. ὡς δὲ περὶ*
δείλην ὀψίαν ἡ ἡμέρα ἐγένετο, εἰδὼς ὁ βασιλεὺς ὅτι φυλακὴ
περὶ τὸ στρατόπεδον οὐκ ἦν ἀξιόλογος, καὶ δείσας μὴ ἐπελ-

5 *ὅτι ὑποστρεψάντων τῶν πρέσβεων* (*τ. πρ. ὑποστρ.* E) *ὁ βασιλεὺς πρὸς μάχην ὥρμησε* (*ὡρμήθη* E), *καὶ ὅπως ἡττήθη καὶ ἑάλω* CE

1 *κατασκηνωσάτω* Ewp, *διασκηνωσάτω* D 2 *με* om. BD 4 *πρέσβευσι* BD 5 *σουλτὰν* Rwp*Di*, *σουλτᾶν* A, v. ad XVII 25, 21 6 *ἀπήγγελον* Ewp 7 *διέλεγετο* cui superscribit *ἐβουλεύετο* A, *ἐβουλεύετο* Rwp*Di* 7. 8 *ὑπερφρονήσας καί*] *ὑπερκαί* D 10. 11 *ἵνα διὰ ταύτην ἐκεγχειρίας δοθείσης καὶ ἄλλην προσαγάγηται δύναμιν* C*Wo* lat. 10 *τεθείσης* E 11 *τὴν* post *ἀναμείνας* B 12 *σαλπιγγταῖς* ex *σαλπιγγηταῖς* mut. B, *σαλπικταῖς* D 13 *διεθρόησε τὸ αἰφνίδιον* C 14 *οὕτω* Ewp, v. ad XIII 6, 16 *ἔστησαν καὶ* om. C 15 *αὐτῷ* C 18 *παρὰ* B

condicionibus loqui vellet, ut relicto loco, quo iam castra haberet,
tabernacula procul transferret, ut ipse vallum ibi communiret,
5 ubi tum barbarorum tentoria essent. Haec arrogantius locutus
6 legatos statim abire iussit. Qui cum sultano regis verba renun-
7 tiassent, illo cum suis de pacis condicionibus deliberante, rex su-
perbia elatus fidem quibusdam de familiaribus suis habuit, qui
sultanum plenum esse timore dicebant et, quod iustas copias non
haberet, propterea de pace agere, ut pugna dilata alium exerci-
tum adduceret; itaque non exspectato legatorum reditu neque
8 ulla re alia considerata, signa cani iussit. Barbaros autem etsi
res improvisa commovit, tamen aciem instruxerunt nec, quam-
vis a Romanis invaderentur, contra ibant, sed sensim recedebant,
9 neque fugientes neque pugnantes. Cum autem esset serum diei,
rex, ut qui castrorum custodiam iusto minorem esse sciret, ve-

θόντων τῶν ἐναντίων αὐτῷ διαρπαγῇ, ἔγνω τὴν μάχην λῦσαι
215 καὶ ἐπαναζεῦξαι περὶ τὸν χάρακα. ἐπιστρέψας οὖν τὴν βασι- 10
λικὴν σημαίαν αὐτός τ' ἐπανῄει καὶ τῇ στρατιᾷ ταὐτὸ ποιεῖν
διεσήμαινεν. οἱ μὲν οὖν περὶ αὐτὸν ὄντες ἀθορύβως ἐποιοῦντο 11
5 τὸ κελευσθέν. ὅσοι δὲ πόρρω ποι τὰς παρατάξεις ἐκέκτηντο, 12
φυγὴν τοῦ βασιλέως τὴν ὑποστροφὴν ὑπετόπασαν, Ἀνδρονίκου C
τοῦ υἱοῦ τοῦ Καίσαρος τὸν λόγον ὑποβαλόντος ταῖς φάλαγξιν.
ἀεὶ γὰρ ὅ τε Καῖσαρ καὶ οἱ τούτου υἱεῖς ἐφήδρευον τῷ βα- 13
σιλεῖ καὶ ἀφανῶς ἐπεβούλευον. ἄρας οὖν αὐτίκα μετὰ τῶν 14
10 περὶ αὐτὸν ὁ Ἀνδρόνικος (ἐξῆρχε γὰρ οὐκ ἐλαχίστης μοίρας
στρατιωτῶν) ἀπὸ ῥυτῆρος ἐπανελήλυθεν εἰς τὸν χάρακα. τοῦτο 15
καὶ τοὺς λοιποὺς ἐτρέψατο εἰς φυγήν, οὓς οὕτως ἀκόσμως
ἐπανιόντας ὁ βασιλεὺς θεασάμενος ἔστη, στῆναι δὲ καὶ τοῖς
ἀπιοῦσιν ἐνεκελεύετο. ἀλλ' ἐξεκεκώφεισαν ἅπαντες καὶ τῆς 16
15 φυγῆς οὐ μεθίεντο. ὡς δὲ τὸ παράλογον τῆς φυγῆς δυστύ- 17 W III 22
χημα τῶν Ῥωμαίων καὶ μήνιμα θεῖον ἔγνωσαν οἱ πολέμιοι,
εὐθὺς ἐπῆλθον τῷ βασιλεῖ. ὁ δὲ μετὰ τῶν περὶ αὐτὸν τὴν 18 D
μάχην ἐδέξατο, καὶ μέχρι μέν τινος ἐρρωμένως ἀντεῖχον, εἶτα
τῶν μὲν πεσόντων, ἑαλωκότων δ' ἑτέρων, περιεστοιχίσθη πρὸς
20 τῶν βαρβάρων ὁ βασιλεύς· ἀλλ' οὐδὲ οὕτως ἐνέδωκε. πολ- 19

1 *λύσαι* Ewp 3 *τὴν στρατιὰν* Ewp 4 *διεσήμηνεν* B *ἐποίουν* CD*Di* 5 *παρατάξεις* ARwp (*φάλαγγας* Scylitz. p. 698, 1), *τάξεις* C*Di* 8 *καίσαρ* ARwp, *καῖσαρ* Bs*Di* *υἱοὶ* B 10 *αὐτῶν* ex *αὐτὸν* mut. D *ὁ* om. D 13 *θεώμενος ὁ κρατῶν* C 19 *περι-εστοιχήθη* B 20 *οὐδ'* B

ritus, ne ab hostibus diriperentur, omissa pugna ad vallum red-
ire statuit. Cum igitur regio vexillo converso exercitui denun- 10
tiasset, ut idem faceret, ii qui prope ipsum erant sine tumultu 11
iussa sunt exsecuti; sed quorum ordines longe distabant, reces- 12
sum regis fugam interpretati sunt, eo sermone ab Andronico,
Caesaris filio, apud phalanges sparso. Semper enim Caesar eius- 13
que filii regi obtrectabant et clanculum insidiabantur. Is igitur 14
Andronicus, cum non minimae exercitus parti imperaret, statim
cum suis equo concitato in vallum rediit, quae res ceteros quo- 15
que in fugam convertit. Quos cum ita perturbate reverti videret
rex, substitit et abeuntes quoque hortatus est, ut subsisterent.
Sed obsurduerant omnes nec fugam remittebant. Cum autem 16. 17
hostes inopinatam Romanorum fugam ex divina ira coortam in-
tellegerent, regem statim invaserunt. Is vero cum suis pugna 18
non detrectata ad tempus fortiter restitit; deinde aliis caesis,
captis aliis, circumventus a barbaris ne ita quidem cessit. Enim- 19
vero cum multos vulnerasset et occidisset, tandem et ipse fati-

λοὺς δὲ πλήξας καὶ ἀνελὼν ἐπλήγη κἀκεῖνος τὴν χεῖρα καὶ
οὕτως ἀποκαμὼν καὶ μηκέτι ἀμύνεσθαι τοὺς ἐπιόντας δυνά-
μενος μήτε μέντοι φυγεῖν, ἤδη τοῦ ἵππου αὐτῷ πεπτωκότος
ἐκ τῶν βελῶν, ἑάλω καὶ ἀπῆκτο τοῖς βαρβάροις ὁ βασιλεὺς
20 Ῥωμαίων αἰχμάλωτος. ἀγγελθεῖσα δὲ ἡ τοῦ βασιλέως ἅλωσις 5
P II 284 A τῷ σουλτάνῳ χαρὰν μέν, ὡς εἰκός, ἐνεποίησεν, οὐ μέντοι ἐπ-
21 ῆρεν αὐτὸν ὥστε καὶ ὑψηλοφρονῆσαι· Ἄξαν ἐκεῖνος ὠνόμαστο,
οὗ πολλὰ ἐπὶ δικαιοσύνῃ καὶ μετριοφροσύνῃ ᾄδονται διηγή-
22 ματα. ὅθεν ἠπίστει καὶ τῇ τοῦ βασιλέως ἁλώσει διὰ τὸ τοῦ D I
23 εὐτυχήματος ἄκρατον. καὶ ἰδὼν αὐτὸν οὐ πρότερον πιστὸν τὸ 10
πρᾶγμα ἐδέξατο, ἕως καὶ οἱ παρ' αὐτοῦ σταλέντες πρέσβεις
αὐτὸν ἀνεγνώρισαν καὶ ὁ Βασιλάκης ἐκεῖ κατεχόμενος καὶ ἰδὼν
24 αὐτὸν εἰς τοὺς πόδας αὐτοῦ θρηνῶν κατέβαλεν ἑαυτόν. τότε
δὲ τοῦ θρόνου τε ἀνεπήδησεν ὥσπερ ἔνθους καὶ τεθέντα κατὰ
γῆς, ὡς ἔθος, πατήσας αὐτὸν ἀνέστησε καὶ περιεπτύξατο καί 15
B "μὴ λυποῦ, βασιλεῦ" ἔφη· "τοιαῦτα γὰρ τὰ ἀνθρώπινα· ἐγὼ
δέ σοι οὐχ ὡς αἰχμαλώτῳ, ἀλλ' ὡς βασιλεῖ σοι προσενεχθή-
25 σομαι." καὶ αὐτίκα σκηνὴν αὐτῷ ἀποτάττει καὶ θεραπείαν

5 ὅπως ὁ σουλτὰν ἐχρήσατο τῷ βασιλεῖ ἀπαχθέντι πρὸς αὐτόν C

1 δὲ RwpDi, om. A 2 ἀμύνασθαι BD 3 αὐτοῦ BDEwp
6 σουλτάνῳ AC Scylitz. p. 699, 14, σουλτὰν Rwp 7 ἄξαν A,
ἀξὰν Cw, Αξαν p, ἀζὰν R; προσαχθέντος τῷ σουλτάνῳ Ἄξαν τοῦ (ita
pro ἀξάντου edit. Bonnensis videtur esse restituendum) βασιλέως
Ῥωμαίων Scylitz. p. 699, 21 8 μετριοφρ. καὶ δικαιοσύνῃ CD
9 τὸ om. D 10 ἄκραντον D πιστὸν om. B 11 αὐτῷ C
12 βασιλάκιος Rwp post κατεχόμενος add. ἀχθεὶς BDEwp
14 ἔνθους ὥσπερ Rwp 14. 15 ἐπὶ γῆς C 15 post ἀνέστησέ add.
τε BDEwp 17 σοι prius om. CEDi post βασιλεῖ om. σοι
DEwp; de chiasmo v. ad XIII 2, 6

gatus, cum manu vulnerata nec vim iam propulsare nec equo
iaculis caeso fugere posset, captivus est abductus ad barbaros
20 Romanorum rex. Quo nuntio accepto sultanus, ut natura fert,
21 gavisus est neque tamen superbia elatus; nam de Axanis — hoc
22 erat ei nomen — iustitia et moderatione multa memorantur. Unde
23 captum esse regem non credebat ob immoderatum successum eum-
que conspicatus non prius acquievit, quam legati, quos dudum
miserat, eum agnoverunt et Basilaces, qui ibi tenebatur, ad pedes
24 eius flens se prostravit. Tum quasi numine afflatus e solio exsiluit
et de more humi iacentem calcavit; deinde, cum eum erexisset
atque amplexus esset "Noli maerere" inquit "o rex; tales enim
sunt res humanae. Ego vero te non ut captivum, sed ut regem
25 te tractabo." Et statim ei tabernaculum designat et ministeria re-

βασίλειον, κοινωνεῖ τε τραπέζης, ὁμόθρονον ἑαυτῷ ποιησάμενος, λύει τῶν αἰχμαλώτων αὐτῷ ὁπόσους ᾔτησε, καὶ οὕτως ἐφ' 26 *ἡμέραις τισὶ συνομιλήσας καὶ συνδιαιτηθεὶς τῷ ἀνδρὶ καὶ τιμήσας ὑπερβαλλόντως, εἶτα καὶ συνθήκας θέμενος ἐπὶ εἰρήνῃ*
5 *διηνεκεῖ καὶ κήδους ὑπόσχεσιν ἐπὶ παισὶ ποιησάμενος ἀφῆκε τὸν Διογένην ἀπιέναι μεθ' ὅσης οὐκ ἄν τις ἤλπισε δορυφορίας τε καὶ τιμῆς. ὁ δὲ εἰς Θεοδοσόπολιν ἀπελθὼν ἐσταλμένος* 27 *βαρβαρικῶς (ὁ γὰρ σουλτὰν οἰκείας αὐτῷ παρέσχε στολάς) τήν τε χεῖρα ἐκεῖ προσμείνας ἐθεραπεύετο καὶ τὴν ἀμφίασιν πρὸς* C
10 *τὸ ῥωμαϊκώτερον μεθηρμόζετο. ἐκεῖθεν δὲ προήει ἐπανιών,* 28 *ἄγων μεθ' ἑαυτοῦ καὶ πρέσβεις τοῦ σουλτάν.*

Ἀλλ' ὁ μὲν οὕτως ἐπανήει· τῆς δ' ἀλώσεως αὐτοῦ ἀγ- 29 *γελθείσης εἰς τὰ βασίλεια ἐν διχονοίᾳ οἱ περὶ ταῦτα γεγόνασιν. οἱ μὲν γὰρ τῇ βασιλίσσῃ καὶ αὖθις τὴν ἐξουσίαν ἐδίδοσαν, οἱ* 30
15 *δὲ τῷ πρεσβυτέρῳ τῶν ταύτης υἱέων τὸ ξύμπαν ἐπεψηφίζοντο, οἱ δὲ κοινοπραξίαν τῇ τε μητρὶ καὶ τῷ υἱέϊ ἀπένεμον.*

217 *Ἐν τούτοις δὲ λυθεὶς τῆς αἰχμαλωσίας ὁ Διογένης ἀπαγ-* 15 *γέλλεται· κομίζεται δὲ καὶ ἰδιόγραφος ἐκείνου ἐπιστολὴ τὰ αὐτῷ*

12 *τίνα* (*ὅσα* E) *γεγόνασιν ἐν τοῖς βασιλείοις τῆς ἁλώσεως ἀγγελθείσης τοῦ Διογένους* (*τ. Διογ.* om. C) CE

2 *λύει* — 5 *ποιησάμενος* om. D 2 post *λύει* add. *τε* EwpDi 4 *ὑπερβαλλόντως* .... *καὶ* omisso *εἶτα* C *ἐπ'* BC 7 *τε* om. p*Di *ὁ δὲ*] *ὅτε* p* *θεοδοσόπολιν* ARw, *Θεοδοσιόπολιν* pDi, *Θεοδοσιούπολιν* Scylitz. p. 701, 20, v. ad XVIII 13, 8 10 *τὸν* D 11. 12 *ἄγων—οὕτως* om. E 15 *σύμπαν* D, v. ad XIII 5, 1 16 *υἱέϊ* AR, *υἱέει* w*p 17 *ἀπαγγέλλεται* A (v. Psell. p. 279, 24), *ἀγγέλλεται* RwpDi

gia mensaeque adhibitum iuxta se collocat, captivis, quotquot petierat, redditis. Ad hunc modum per dies aliquot cum eo ver- 26 satus et collocutus et insigni honore prosecutus, pace perpetua sancta promissaque affinitate inter liberos ipsorum contrahenda, Diogenem dimisit cum maiore comitatu et honore, quam sperari potuit. Rex igitur barbarica veste ornatus (sultanus enim 27 gentiliciam illi stolam dederat) Theodosopolim profectus ibi exspectavit, dum vulnus manus curaretur, et vestem pro consuetudine Romana immutavit. Inde cum sultani legatis urbem versus 28 contendit.

Ceterum eius captivitate in regiam nuntiata inter proceres 29 erat controversia, aliis reginae potestatem restituendam censen- 30 tibus, aliis natu maximo ex eius filiis imperium decernentibus, aliis communem et matri et filiis auctoritatem tribuentibus.

15. Interea nuntio de Diogene liberato accepto allataque

D 2 *συμβεβηκότα διδάσκουσα. τοῦτο μείζονα θροῦν ἦρε, καὶ ἀπορία*
3 *πάντας εἷλε τοῦ τί ἂν δέοι δρᾶν. ὁ γοῦν Καῖσαρ Ἰωάννης*
καὶ οἱ ἐκείνου υἱοὶ ἀεί, ὡς εἴρηται, ἐγκοτοῦντες τῷ Διογένει
ἁρπάζουσι τὸν καιρὸν καὶ προσλαβόμενοι τῶν τῆς συγκλήτου
ἐνίους, ὅσοι ὡμοφρόνουν αὐτοῖς, ὧν ἐξῆρχεν ὁ ὑπέρτιμος ὁ 5
Ψελλός, δύσνους καὶ αὐτὸς τῷ Διογένει τυγχάνων, τὴν βασί-
λισσαν Εὐδοκίαν εἰς τὴν παρ' αὐτῆς δομηθεῖσαν μονὴν κατὰ
τὸν ἐν τῇ Προποντίδι πορθμὸν περιορίζουσι, τὸν δὲ Μιχαὴλ
4 *ἀνακηρύττουσιν αὐτοκράτορα. εἶτα πανταχοῦ διαπέμπονται βα-*
P II 285 A *σίλεια γράμματα μήθ' ὑποδέχεσθαι μήτε τιμῆς βασιλικῆς ἀξιοῦν* 10
W III 226 5 *ἐπανιόντα τὸν Διογένην κελεύοντα. τούτου δὲ τοῦ βουλεύματος*
εἰσηγητὴς ὁ Ψελλὸς γέγονεν, ὡς καὶ αὐτὸς ἐν τῇ περὶ τούτου
6 *φησὶ συγγραφῇ. ὅπερ ὁ Διογένης μαθών, τὴν Δόκειαν κατα-*
7 *σχὼν (φρούριον δ' αὕτη) παρ' αὐτῇ ἐστρατοπεδεύσατο. καὶ*
ὁ Καῖσαρ τῶν σφετέρων υἱέων τὸν νεώτερον τὸν πρόεδρον 15
8 *Κωνσταντῖνον στέλλει κατὰ τοῦ Διογένους μετὰ δυνάμεως. ὁ*
9 *δὲ Διογένης εἰς Καππαδοκίαν ἀφίκετο. προσγενομένου δὲ τοῦ*

9 *ὅτι προστάγματα ἐπέμφθησαν πανταχοῦ μὴ δέχεσθαι τὸν Διογένην ὡς βασιλέα, καὶ ὅτι τοῦ Καίσαρος υἱοὶ ἐστάλησαν κατ' αὐτοῦ* CE

1 *καὶ ἀπορία—3 ἀεί* om. E 2 *τοῦ τί ἂν* A, *τοῦ τί* BCwp, *τουτὶ* D 2. 15 *καίσαρ* ARwp, *καῖσαρ* B[s]*Di* 3 *ἐκείνου* post *υἱοὶ* B, v. ad XVII 7, 15 *εἴρηται*] XVIII 14, 13 *ἐγκοθοῦντες* p* 3. 6 *διόγενει* (sic) E 5 *ὁμοφρόνουν* (sic) A *ὑπέρτιμος*] De hoc titulo v. praeter Krumbacherum *Gesch. d. byz. Litterat.* Monach. 1891 p. 175 Ducangium gloss. ad script. med. et inf. graec. p. 1640 infra 9 *διεκπέμπονται* B 12 *καὐτὸς* B 13 *φησὶ*] p. 281, 13 |*περ* C, corr. Cw *δόκειαν* AO tres Pp, *εὐδοκίαν* E, *δοκίαν* w* 15 *οἰκείων* C *νἱῶν* CD *τὸν πρ.*] *τῶν πρ.* C 17 *προσγινομένου* C

ab eo epistula ipsius manu scripta, qua quae sibi accidissent
2 edocebat, maiore orto tumultu omnes dubitabant, quid esset
3 agendum. Caesar igitur Ioannes eiusque filii Diogeni semper,
ut dictum est, infesti, arrepta occasione quibusdam ex senatu so-
ciis, quorum Psellus hypertimus erat princeps et ipse Diogenis
inimicus, adhibitis, regina Eudocia in monasterium, quod ipsa
prope fretum Propontidis struxerat, relegata, Michaëlem appellat
4 imperatorem. Deinde quovis litterae mittuntur, quibus provin-
ciales Diogenem redeuntem neque suscipere neque regio honore
5 iudicare dignum iubebantur, cuius consilii auctor fuit Psellus,
6 ut ipse in illius historia commemorat. Quo Diogenes cognito
7 cum ad Doceam castellum castra posuisset, Caesar Constantinum,
8 filium natu minimum, praesidem contra eum mittit. Inde Dio-
9 genes in Cappadociam profectus, postquam Crispinus Francus

Κρισπίνου (Φράγγος δ' οὗτος) σὺν ὁμοφύλοις τῷ Κωνσταντίνῳ, ὁ Διογένης Θεόδωρον τὸν Ἀλυάτην κατ' αὐτῶν ἐξαπέστειλεν. ὁ δὲ συμμίξας αὐτοῖς ἡττήθη καὶ ἁλοὺς ἐξεκόπη τὰ 10
ὄμματα. τοῦτο τὸν Διογένη λίαν ἠνίασεν· ὄντι δὲ ἐν τῷ Τυ- 11 B
5 *ροποιῷ (τοῦτο δ' ἐστὶ φρούριον ἐρυμνότατον) πρόσεισιν αὐτῷ τῆς Ἀντιοχείας ὁ δούξ (οὗτος δ' ἦν ὁ ἐξ Ἀρμενίων ὁ Χατατούριος) στρατιώτας συχνοὺς ἐπαγόμενος. παραλαβὼν οὖν τὸν* 12
Διογένη οὗτος καὶ εἰς Κιλικίαν ἀπαγαγὼν ἐκ τοῦ σουλτὰν
218 *ἐκαραδόκει βοήθειαν καὶ αὐτὸς δὲ συνήθροιζε στράτευμα. στέλ-* 13
10 *λεται οὖν αὖθις κατ' αὐτῶν ὁ πρεσβύτερος τῶν παίδων τοῦ Καίσαρος ὁ πρόεδρος Ἀνδρόνικος καὶ εἰς Κιλικίαν γενόμενος τῷ Χατατουρίῳ συρρήγνυται, καὶ ἀναιρεῖται μὲν ὁ Χατατούριος, οἱ δὲ περὶ ἐκεῖνον εἰς Ἄδαναν συμπεφεύγασιν, ἔνθα ὁ Διογένης διέτριβε. περικαθίσας δὲ τὴν πόλιν ὁ Ἀνδρόνικος ἐπολιόρκει* 14
15 *αὐτήν. εἶτα ἐπὶ συνθήκαις ἑαυτὸν ὁ Διογένης παρέδωκεν· αἱ* 15
δὲ συνθῆκαι, ἀποθέσθαι μὲν τὴν βασιλείαν αὐτὸν καὶ ἰδιωτεύειν C
τὴν τρίχα κειράμενον. ἐπὶ ταύταις γὰρ καὶ ἀρχιερεῖς ἐστάλη- 16
σαν πρὸς τοῦ βασιλεύοντος, πληροφορίαν ἔνορκον διδόντες αὐτῷ

14 *ὅπως κατεκλείσθη ὁ Διογένης καὶ ἐπολιορκεῖτο καὶ ὅτι ἐπὶ συνθήκαις παρέδωκεν ἑαυτόν* C

2 *ἀλυάττην* E*Wo* lat., *ἀλυάτην* O Scylitz. p. 703, 2 Mich. Attal. p. 170, 11, *ἀλιάτην* A, *ἀλυάτην* w*, *Αλυάτην* p, *Ἀλυάττην* *Di* 3 *συμίξας* (sic) A 4 *διογένην* Rwp, v. ad vs. 8 *δ'* Rwp*Di* 6 *Λαχατούριος* nominatur a Scylitz. p. 703, 21, *Χατατούρης* a Psell. p. 285, 16. 286, 13 7. 8 *οὗτος* ante *τὸν* C 8 *διογένην* Rwp*Di* 10 *γοῦν* BDEwp 11 *εἰς* om. D 12 *χατατουρῷ* E *προσμίγνυται* B(?)Ewp 13 *εἰς ἄδαναν* om. C, suppl. Cw 14 *περικαθίσας δὲ* Rwp*Di*, *καὶ περικαθίσας* C, *παρακαθίσας δὲ* A 16 *συνθῆκαι* (sic) A, v. ad XVIII 16, 11 18 *διδόντες* A, *διδόντος* Rwp, v. Scylitz. p. 704, 13

cum suis popularibus se coniunxit cum Constantino, Theodorum Alyatem contra illos misit, cui victo et capto oculi sunt effossi. 10
Id molestissime ferenti Diogeni et in Tyropoco, castello muni- 11
tissimo, castra habenti Chataturius Armenius Antiochiae dux se coniungit multis adductis militibus, assumptoque Diogene et 12
in Ciliciam perducto, a sultano exspectat auxilium et ipse copias colligit. Quare denuo contra eos mittitur natu maximus Cae- 13
saris filius praeses Andronicus; commisso autem in Cilicia proelio et Chataturio interfecto, milites eius ad Diogenem Adanam confugiunt. Quam urbem Andronico obsidente, Diogenes deditionem 14
facit iis condicionibus, ut regno deposito rasaque coma privatam 15
vitam ageret. Nam primarii sacerdotes a rege de deditione missi 16

17 *ὡς οὐδέν τι πείσεται ἄχαρι. θαρρήσας οὖν τούτοις ὁ Διογένης ἔξεισι μελανείμων καὶ ἑαυτὸν ἐγχειρίζει τῷ Ἀνδρονίκῳ.*
18 *ὁ δὲ τοῦτον λαβὼν ἐπανήει, καὶ εἰς τὸ Κοτυάειον ἀφικόμενος προσέμενεν ἐν αὐτῷ, ἕως ἂν αὐτῷ κελευσθείη τὸ ποιητέον, τοῦ Διογένους νοσηλευομένου ἐκ πόσεώς τινος φαρμάκου δη-* 5
19 *λητηρίου ἐπιβούλως κερασθέντος αὐτῷ. ἐκεῖ τοίνυν ἐπέμφθη βασίλειος ψῆφος, τοῦ φωτὸς στερηθῆναι τὸν μηδὲν ἠδικηκότα*
20 *κελεύουσα. καὶ αὐτίκα τοὺς ὀφθαλμοὺς ἐξωρώρυκτο, παρόντων καὶ τῶν ἀρχιερέων καὶ ἐν δεινῷ ποιουμένων τὴν εἰς*
D *τὸν ἄνθρωπον συμφοράν, μηδεμιᾶς μέντοι ἀξιουμένων ἐπι-* 10
21 *στροφῆς. ὠμότατα δὲ τὰ ὄμματα ἐκκοπεὶς καὶ μηδ' ἐπιμελείας τῆς δεούσης τυχὼν διῳδήκει τὴν κεφαλήν, καὶ αἱ πληγαὶ οἱ ἐξέζεσαν σκώληκας καὶ ὁ ἀὴρ ὁ περὶ ἐκεῖνον δυσωδίας με-*
22 *μέστωτο ἐκ τῆς σήψεως. οὕτως οὖν κακῶς διακείμενος εἰς τὴν καλουμένην Πρώτην νῆσον ἀπάγεται, ἐν ᾗ σεμνεῖον ἀν-* 15
23 *ήγειρε περὶ τὸ τῆς νήσου μετεωρότερον. βραχύ τι τοίνυν ἐπιβιώσας ἐκεῖ τὸν χοῦν ἀποτίθεται ἐν αὐτῇ, παρὰ τῆς βασιλίδος* D Π
Εὐδοκίας λαμπρότατα κηδευθείς, βασιλεύσας ἔτη τρία καὶ μῆνας ὀκτώ.

3 *ὅτι πρότερον μὲν φάρμακον ἐκεράσθη τῷ Διογένει, εἶτα ἐτυφλώθη* E
14 *ὅτι ἐν τῇ Πρώτῃ νήσῳ ἀπαχθεὶς ἐτελεύτησεν ὁ Διογένης* CE

1 *πήσεται* DEw, *πάσεται* p* *τούτοις*] *τούτου* E 3 *κοτυάχειον* punctis not. D 4 *ἐν αὐτῶ* Rwp*Di*, *ἑαυτῶ* A 5 post *πόσεως* om. *τινος* et add. *ὡς ὑπόληψις* CEwp *τινος* om. *Di* invitis ABD, v. ann. anteced. 7 *ψῆφος βασίλειος* Ewp, *βασίλειον ψήφισμα* C *τὸν* om. B 8 *κελεύουσα* Rwp, corr. ex *κελεύοντα* A, *ἐγκελευόμενον* C *ἐξορώρυκτο* Rwp*Di*, v. ad p. 298, 10 13 *ἐξώζεσαν* B *ὁ* ante *περὶ* om. B 14 *σκήψεως* p* 15 post *σεμνεῖον* add. *ἐκεῖνος* Rwp, similiter Scylitz. p. 705, 2 17 *π* (supra scr. *ὲ*) C, *παρὰ* Cw

17 iureiurando confirmarant eum nihil molesti esse passurum. Quibus Diogenes fretus pulla veste indutus Andronici fidei se per-
18 mittit. Is eo accepto, ubi Cotyaëum pervenit, exspectavit, dum mandaretur, quid sibi faciendum esset, aegrotante Diogene ex ve-
19 neno quodam per insidias propinato. Ibi igitur regio mandato in-
20 sonti statim effossi sunt oculi, primariis quoque sacerdotibus praesentibus et hominis calamitatem graviter ferentibus, quamvis nemo
21 eos curaret. Ita luminibus crudelissime orbato, iusta curatione non adhibita, caput intumuit, et e vulneribus vermes scaturierunt, adeo ut ex putrefactione illa aër prope ipsum taeterrimo
22 foetore compleretur. In tanta calamitate in Protam insulam per-
23 ducitur, in cuius editiore loco monasterium aedificarat. Ubi non diu superstes corpus terrae reddidit, ab regina Eudocia funere splendidissime curato, cum triennium et octo menses regnasset.

Λέγεται δὲ τὰ εἰς τὸν ἄνδρα τοῦτον γενόμενα πάντα τοῦ 24
Καίσαρος εἶναι διαταγάς, μηδὲν εἰδότος τοῦ αὐτοκράτορος Μι- P II 286 A
χαήλ. ἦν γὰρ χαῦνος ἄγαν τὸ ἦθος ὁ βασιλεὺς καὶ ἀνειμένος 25
καὶ πρὸς μεταχείρισιν πραγμάτων καὶ τῶν τυχόντων ἀδέξιος,
5 πολλοῦ γε δεῖ πρὸς βασιλείας διοίκησιν. κἀντεῦθεν τῆς εὐ- 26
ηθείας ἐκείνου κατατρυφῶν ὁ θεῖος αὐτοῦ καὶ Καῖσαρ πάντα
τὰ εἰς τὸν Διογένην ἐτύρευσεν ἐγκοτῶν τῷ ἀνδρί.

Ἀποπεφυκὼς δ' ὁ βασιλεὺς Μιχαὴλ πρὸς τὴν τῆς βασι- 16 W III 227
λείας διοίκησιν τὸν μητροπολίτην Σίδης Ἰωάννην, ἐκτομίαν
10 ὄντα, δραστήριον δέ, τοῖς πράγμασιν ἐφιστᾷ. εἶθ' ἕτερον ἐκτο- 2
μίαν τὸν Νικηφόρον, ὃς νέος προσληφθεὶς παρὰ τοῦ Μονο-
μάχου εἰς τὰ βασίλεια ὑποκοριζόμενος διὰ τὴν νεότητα Νικη-
φορίτζης ὠνόμαστο καὶ ὥσπερ ἐπωνυμίαν ἔσχηκε τοῦτο, ἐξ B
Ἑλλάδος καὶ Πελοποννήσου τὰς κρίσεις τούτων διέποντα μετ-
15 επέμψατο. ἔφθασε γὰρ ὁ ἀνὴρ οὗτος καὶ τῷ πατρὶ τοῦ βασι- 3
λέως τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ ὑπηρετήσασθαι. ἦν 4
δὲ περὶ πραγμάτων μεταχείρισιν δεξιὸς καὶ λόγοις ὡμιληκώς,

7 *βασιλεία Μιχαὴλ τοῦ υἱοῦ* (*τ. υἱοῦ* om. A) *Κωνσταντίνου* (om. AC) *τοῦ Δούκα* (*τοῦ υἱοῦ—Δούκα* om. E) *τοῦ λεγομένου Παραπινάκη* (*τ. λεγ. Παραπ.* om. R) ACDE, Michael Cʒ B manu recentiss. 8 *ὅτι τὸν Σίδης ἐπέστησε τοῖς πράγμασι πρότερον, εἶτα τὸν Νικηφορίτζην* C

2 *καίσαρ* E 3 *καὶ ἀνειμένος* ante *ὁ* C 4. 17 *μεταχείρησιν* BD 6 *καὶ* om. Rwp *καίσαρ* ARwp, *καῖσαρ* B^s *Di* 7 *τὰ* om. D *ἐποίησεν* C 8 *δ'* ARw, *δὲ* p**Di* 11 *Μονομάχου*] Errat Zonaras; neque enim Constantinus IX. Monomachus, sed Constantinus X. Ducas, pater Michaëlis VII., ministrum habuit Nicephoritzem; v. Scylitz. p. 705, 23 ss. Mich. Attal. p. 180, 19 13 *ἐλέγετο* C 14 *πελοπονήσου* ARwp, *πελοποννήσου* CE*Di*, *Ἑλλησπόντου* Scylitz. p. 706, 14, sed v. Mich. Attal. p. 182, 4 *τοῦτον* Ewp 15 *ἔφθη* C 16 *τῷ* ante *δούκᾳ* om. D

Ea vero, quae hic vir perpessus est, iussu Caesaris acta 24 esse omnia feruntur, Michaële imperatore ignaro, qui quidem 25 nimis molli esset ac socordi ingenio atque ad imperium tam ineptus, ut ne levissima quidem negotia administrare posset. Ita- 26 que patruus Caesar eius simplicitate abusus privato odio commotus omnia illa in Diogenem perpetravit.

16. Rex Michaël imperio minime idoneus Ioannem, Sidae metropolitam, spadonem illum quidem, sed virum strenuum, rebus gerendis praefecit. Deinde alium spadonem Nicephorum, 2 qui adulescens a Monomacho in aulam ascitus ob aetatem per deminutionem Nicephoritzes cognominabatur, ex Graecia et Peloponneso revocavit, ubi iudicia exercebat. Qui patri quoque Con- 3 stantino Ducae inservierat, vir sollerti ingenio et eruditus, sed 4

5 τὸ δὲ ἦθος ἔχων ὑποκαθήμενον καὶ γέμον δεινότητος. τούτῳ γοῦν ἐγχειρίζει τὰς ἡνίας τῆς βασιλείας, λογοθέτην ὀνομάσας 6 αὐτόν. ἐντεῦθεν ὁ Σίδης παραγκωνίζεται, καὶ ὁ Καῖσαρ καθίσταται ὕποπτος, καὶ πᾶσα ἡ τῆς βασιλείας διοίκησις ὑπὸ τὸν λογοθέτην ἐγένετο, καὶ ὁ βασιλεὺς ὑπ' αὐτοῦ ὡς ἀνδράποδον 5 C 7 ἤγετο. καὶ οὐκ ἦν ὃ μὴ διὰ τοῦ λογοθέτου ἐγίνετο, καὶ πολλοὶ τῶν περιουσιῶν ἐστερήθησαν, ἄλλοις ἄλλων ἐπενηνεγμένων λαβῶν, καὶ ἦν τῶν ἀνθρώπων σύντριμμα καὶ ταλαιπωρία καὶ D Π 8 ὁ τοῦτο ἐπιστρεφόμενος οὐδαμοῦ. ὁ γὰρ βασιλεὺς παιδαριώδεσιν ἐσχόλαζε πράξεσι, τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ ὑπερτίμου Μιχαὴλ τοῦ Ψελλοῦ λόγοις τῷ δοκεῖν αὐτὸν ἐμβιβάζοντος καὶ διδάσκοντος νῦν μὲν τὴν γραμματικὴν τέχνην καὶ μέτρα καὶ διαλέκτους, νῦν δ' ἵνα κατὰ ῥήτορας διαλέγοιτο, νῦν δ' ἱστορίαις αὐτὸν προσεθίζοντος, ἄλλοτε δὲ φιλοσόφων θεωρημάτων ἀκροᾶσθαι παρασκευάζοντος· ὁ δὲ πρὸς οὐδὲν 15 D 9 ἐπεφύκει. τούτοις οὖν ὁ Ῥωμαίων αὐτοκράτωρ προστετηκὼς ὑφ' ἕτερον, καὶ τοῦτον ἕνα, τὴν τῶν κοινῶν κυβέρνησιν ἐποιήσατο, καὶ νόμος ἦν τὸ τῷ λογοθέτῃ δοκοῦν.

10 Τὰ μὲν οὖν τῆς πολιτείας οὕτως εἶχον κακῶς, τὰ δὲ κατὰ

9 ὅτι ἀμελῶν τῶν τῆς βασιλείας πραγμάτων λόγοις ἐσχόλαζεν ὁ Μιχαὴλ C

1 γέμον RwpDi, γέμων A 3 καίσαρ ARwp, καῖσαρ B^sDi 7 ἐστερώθησαν D ἄλλος ἄλλων E 8 λαβῶν O^swpDi, λαβὼν AE 9 τούτων RwpDi 11 τῷ RwpDi, τὸ A, ὢ D 13 διαλέγοιτο RwpDi, |διαλέγονται A 14. 15 ἄλλοτε—παρασκευάζοντος om. BDE 16 τοιούτοις C 19 οὕτως om. C

5 animo deiecto et nequitia pleno. Is logotheta designatus, im-6 perii clavo accepto, Sidensem loco movet et Caesarem suspectum reddit, ipse omnia regia munia obiens et regem velut mancipium 7 ducens. Neque quicquam erat, quod a logotheta non gereretur; itaque cum multi bona sua, alii de aliis causis amitterent hominesque attererentur et aerumnis premerentur, nemo erat, cui 8 illud esset curae. Nam rex puerilibus rebus occupatus a principe philosophorum et hypertimo Michaële Psello ad litterarum studium deductus modo in arte grammatica et versibus et dialectis erudiebatur, modo declamationibus rhetoricis, modo historiis assuefiebat, modo ad audienda philosophorum praecepta pa-9 rabatur, quamvis ad haec omnia ineptus. Huiusmodi igitur studiis Romanorum imperator affixus rerum administrationem alteri, eique uni, commisit, ut legis auctoritatem haberet, quod logothetae visum esset.

10 Proinde respublica male se habebat, orientales vero pro-

τὴν ἔω χεῖρον ἔσχον ἢ πρότερον. ὁ γὰρ σουλτὰν τὰ κατὰ τὸν 11
Διογένη μαθὼν καὶ ὅτι ὃν ἐκεῖνος λαβὼν δορυάλωτον ἐτίμησε
καὶ ἀφῆκεν εἰς τὴν οἰκείαν ἀπελευσόμενον βασιλείαν, τοῦτον οἱ
συμφυλέται ἀπηνῶς οἰκτίστῳ θανάτῳ παρέδωκαν, καὶ αἱ πρὸς
5 ἐκεῖνον περὶ σπονδῶν συνθῆκαι ἄπρακτοι μεμενήκασιν, ὑπερ-
ήλγησε καὶ τὰς οἰκείας δυνάμεις κατὰ τῶν Ῥωμαϊκῶν χωρῶν
χωρεῖν ἐξηρέθισεν· οὐκέτι τοίνυν ὡς ληιζόμενοι ταῖς χώραις 12 P II 287 A
ἐπῄεσαν, ἀλλ' ὡς ταύτας καθέξοντές τε καὶ κυριεύσοντες, τοῦ
σφᾶς ἀνείργοντος μὴ παρόντος.

10 Καὶ οἱ μὲν ταῦτα ἐποίουν· ὁ δὲ βασιλεὺς δύναμιν ἀγείρας 13
στρατάρχην ταύτης τὸν Κομνηνὸν προβάλλεται Ἰσαάκιον, συ-
ζεύξας αὐτῷ καὶ τὸν Λατῖνον Ῥουσέλιον, ὁμογενῶν ἄρχοντα
τετρακοσίων ἀνδρῶν. ἐπεὶ δὲ περὶ τὸ Ἰκόνιον ἐγεγόνει τὸ στρά- 14
τευμα, ἐξ αἰτίας τινὸς ἀποστατεῖ ὁ Ῥουσέλιος καὶ τοὺς ὁμο-
15 φύλους παραλαβὼν καθ' ἑαυτὸν ἦν καὶ πῇ μὲν τοῖς Τούρκοις
21 προσέμισγε, πῇ δὲ τὰς χώρας τὰς Ῥωμαϊκὰς ἐκεράϊζεν. ὁ δὲ 15
Κομνηνὸς Ἰσαάκιος μετὰ τοῦ περιλοίπου στρατεύματος τοῖς
Τούρκοις προσβαλὼν ἥττητο, καὶ ἔπεσον μὲν πολλοὶ καὶ ἐζω-

1 ὅτι ὁ σουλτὰν (σουλτᾶν E) τὰ κατὰ τὸν Διογένην μαθὼν τὴν ἐῴαν κατ-έτρεχεν CE 10 ὅτι ὁ Κομνηνὸς Ἰσαάκιος ἐστάλη (στόλω E) μετὰ τοῦ Ῥουσελίου τοῖς Τούρκοις ἀντιταξόμενος (ἀντιταξάμενος E) καὶ ἡττηθεὶς ἑάλω καὶ ὁ Ῥουσέλιος ἀπεστάτησεν (ἠπίστησε E) CE

2 διογένην Rwp δοριάλωτον *Di*, v. ad XIII 8, 3 3 βασιλείαν ἀπελευσόμενον C 4 οἰκτρῷ | omisso θανάτῳ C, οἰκτίστῳ θανάτῳ Cw 5 αἰκεῖνον E συνθῆκαι (sic) AEwp, v. ad XVIII 15, 15 6 τῶν om. E 8 κατέξοντες p* τοῦ AR, τοὺς w*p 10 ταῦτ' D 13 παρὰ B 16 προσέσμιγε D, προσέμισγε καὶ ἐμάχετο C ἐκεράϊζεν R[s]wp*Di*, ἐκεράϊζε A, v. ad XIII 1, 5 18 μὲν om. C

vinciae gravius quam prius vexabantur. Nam sultanus, cum 11
didicisset, quemadmodum cum Diogene actum esset, eumque a
suis crudelissime interfectum, quem ipse captivum honorifice ad
suum imperium remisisset, et pacis condiciones cum illo initas
manere irritas, magno dolore affectus suas copias contra Roma-
norum provincias concitavit, quas non iam praedabundi inva- 12
debant, sed ut subacturi et possessuri, cum nemo esset, qui iis
obsisteret.

Quae cum illi facerent, rex coacto exercitu Comnenum 13
Isaacium creat ducem, Ruselio Latino collega addito, cui qua-
dringenti populares parebant. Verum is, exercitu ad Iconium 14
perducto, cum suis quadam de causa deficit ac per se alias cum
Turcis pugnat, alias Romanas provincias vastat. Isaacius vero 15
Comnenus cum reliquo exercitu a Turcis vincitur ac multis caesis,

B γρήθησαν ἕτεροι καὶ αὐτὸς ὁ στρατάρχης, καὶ διήρπαστο ἡ
16 παρεμβολή. ὁ μὲν οὖν Κομνηνὸς πολλῶν χρημάτων τὴν ἐλευθερίαν ὠνήσατο, ὁ δὲ βασιλεὺς τὸν θεῖον τὸν Καίσαρα τῷ
17 πολέμῳ στρατάρχην ἐφίστησι. τοῦτο μαθὼν ὁ Ῥουσέλιος, πρὸ τοῦ τὸν Σαγγάριον τὸν Καίσαρα διαβῆναι καταλαβών, ἀντ- 5
18 εστρατοπεδεύσατο αὐτῷ· καὶ ὁ Καῖσαρ ἀμνηστίαν αὐτῷ τοῦ
W III 228 19 πταίσματος ἐπηγγέλλετο, εἰ προσχωρήσει τῷ βασιλεῖ. ἀλλ' ἐκεῖ-
20 νος βαρβαρικῶς φρυαττόμενος οὐδὲν ἐφρόνει ἐνδόσιμον. συρρήγνυται τοίνυν πόλεμος, καὶ ἡττήθησαν οἱ περὶ τὸν Καίσαρα καὶ αὐτὸς ἑάλω σὺν πλείοσιν ἄλλοις, τοῦ Βοτανειάτου, ὃς συν- 10
21 εστρατήγει τῷ Καίσαρι, μετ' ὀλίγων φυγόντος. ὁ μέντοι Ῥουσέλιος πρὸς τὸ Βυζάντιον ἵετο ἄγων τὸν Καίσαρα δέσμιον καὶ
C τὸν Μαλέσην Βασίλειον, ἄρτι τῆς μετὰ τοῦ Διογένους λελυμένον αἰχμαλωσίας, καὶ ἡ Χρυσόπολις εἶχε τὸν ἀποστάτην, καὶ
22 αὐτίκα πῦρ ταῖς ἐκεῖσε οἰκίαις ἐνῆκεν. ὁ δὲ βασιλεὺς ἀξίωμά 15 τε κουροπαλάτου αὐτῷ ἐπηγγέλλετο, εἰ τὰ ὅπλα κατάθοιτο, καὶ τὴν γυναῖκα αὐτῷ μετὰ τῶν τέκνων ἐξέπεμψεν· ἀλλ' ὁ
23 βάρβαρος ἀτίθασσος ἦν. μετεπέμψατο τοίνυν ὁ βασιλεὺς κατὰ

2 ὅτι ὁ Καῖσαρ σταλεὶς κατὰ τοῦ Ῥουσελίου (κατὰ Ῥ. σταλεὶς E) ἡττήθη καὶ ἑάλω CE 18 ὅτι ὁ βασιλεὺς Τούρκους κατὰ τοῦ Ῥουσελίου μετεπέμψατο, ὁ δὲ λύσας τὸν Καίσαρα βασιλέα ἀνεῖπε· καὶ συμμίξας τοῖς Τούρκοις αἰχμάλωτος καὶ αὐτὸς καὶ ὁ Καῖσαρ (καίσαρ CE) ἐλήφθησαν CE

3 τὸν θεῖον τὸν Καίσαρα] καίσαρα τὸν θεῖον B 6 καίσαρ ARwp, καῖσαρ B^s *Di* ἀμνηστίαν om. C, suppl. C_w 7 post εἰ add. τὰ ὅπλα κατάθοιτο καὶ C *Wo* lat., v. ad vs. 16 s. 8 συρρύγνηται w*p invitis AR 10 ἑάλω C_w, ἡττήθη C 12 ἴετο Bwp 13 μάλεσῆν (sic) D βασιλεῖον D λελυμένους D 15 ὁ δὲ] καὶ ὁ C 16 κουροπαλάτου Rwp*Di*, κουροπαλάτην A τὰ ὅπλα κατάθοιτο] ἀποσταίη τῆς ἀπονοίας καὶ τοῦ ἀποστατεῖν C 17 αὐτοῦ BDEwp*Di* 18 ἀτίθασος Ewp*Di*

captis aliis, castris direptis ipse quoque dux in hostium potestatem
16 venit, a quibus magna pecunia se redemit; rex vero Caesarem
17 patruum bello praefecit. Quo Ruselius cognito, Sangario, ante-
18 quam ille traiceret, occupato castra contra eum locat et quamvis
19 illo veniam delicti promittente, si ad regem rediret, Ruselius bar-
20 bari insolentia de deditione minime cogitans, proelio commisso,
21 Caesarem vincit et cum pluribus aliis captum et vinctum, unaque Basilium Malesam, paullo ante cum Diogene ex captivitate liberatum, Byzantium versus perduxit, Botaniata Caesaris collega cum paucis elapso, ac Chrysopolim se recipit, ubi domibus
22 statim ignem inicit. Neque homo barbarus, cum rex, si arma deponeret, curopalatae honorem ei offerret uxoremque cum li-
23 beris misisset, ulla re est mitigatus. Itaque Turcis mercede re-

τοῦ Ῥουσελίου Τούρκους ἐπὶ μισθῷ· ὁ δὲ μὴ ἀξιόχρεως ὢν
πρὸς τὸν πόλεμον λύει τὸν Καίσαρα τῶν δεσμῶν καὶ εὐφη-
μίαις ἀναγορεύει βασιλικῶς, οἰόμενος προσθήσεσθαί οἱ πολλούς.
αἴφνης δὲ Τούρκων ἀναφανέντων ὁ Ῥουσέλιος κατ' αὐτῶν βαρ- 24
5 βαρικῇ θρασύτητι ἀπερισκέπτως ἐχώρησε, καὶ πολλοὺς μὲν οἱ
Φράγγοι τῶν Τούρκων κατέβαλον, τοὺς δ' ἄλλους ἐτρέψαντο D
222 εἰς φυγὴν καὶ ἀκρατῶς ἐδίωκον. οἱ μὲν οὖν πλείους ὀπίσω 25
που ἀπελείφθησαν, τῶν ἵππων σφίσι μὴ εὐτονούντων πρὸς τὸ
πολὺ τῆς διώξεως· ὁ Ῥουσέλιος δὲ μετὰ τοῦ Καίσαρος σὺν
10 ὀλίγοις ἐπήλαυνον. ἤδη δὲ τῶν οἰκείων ἐκμηκυνθεῖσι πολὺ 26
ἑτέρα πληθὺς ἀνεφάνη Τούρκων εἰς πολλὰς πάνυ χιλιάδας
ἀριθμουμένη· ὡς δ' ἐπῆλθον αὐτοῖς οἱ φανέντες καὶ ἄκοντες
αὐτοῖς συνερράγησαν. περιειληθέντες δ' ὑπὸ τοῦ πλήθους καὶ 27
τοὺς ἵππους ἀποβαλόντες ἑάλωσαν ὅ τε Καῖσαρ καὶ ὁ Ῥου-
15 σέλιος. ἀλλὰ τὸν μὲν Ῥουσέλιον ἡ σύνευνος προλαβοῦσα ἐπρίατο, 28
τὸν δὲ Καίσαρα ὁ βασιλεὺς ἐλυτρώσατο. ὁ δὲ ἀπαγόμενος 29
πρὸς τὸν βασιλέα καὶ ἐν τῇ Προποντίδι γενόμενος κείρεται τὴν
τρίχα καὶ μεταμφιέννυται τὴν στολήν, ῥάκος μοναχικὸν περι- P II 288 A
θέμενος· ηὐλαβεῖτο γὰρ μή τι πάθῃ πρὸς τοῦ ἀνεψιοῦ διὰ

12 *ὅτι ὁ Καῖσαρ* (*καίσαρ* C) *διὰ τοῦ βασιλέως ἐξωνηθεὶς ἐκείρατο καὶ μοναχὸς γέγονεν* C

1 *τοῦ* om. D 3 *βασιλικαῖς* CEwp*Di* 6 *κατέβαλλον* B 9 *μετὰ τοῦ καίσαρος* corr. ex *σὺν τῷ καίσαρι* B 10 *ἀπήλαυνον ἤδη. καὶ τῶν οἰκείων* B 12 *δὲ* C post *ἄκοντες* add. *οἱ περὶ τὸν ῥουσέλιον* C 14 *καίσαρ* ARwp, *καῖσαρ* B[s]*Di* 18 *μεταθέμενος* w*p invitis AR 19 *πάθοι* Rwp*Di*

gia contra se evocatis, cum illis se non esse parem intellegeret, Caesarem vinculis solutum regem salutat, multos se cum eo coniuncturos esse ratus. Cum autem Ruselius Turcos barbarica 24 ferocia inconsiderate aggressus esset, Franci multos straverunt, ceteros in fugam coniectos continenter sunt persecuti. Plures 25 tamen Franci substiterunt, equis ita fatigatis, ut longiorem insectationem ferre non possent; sed Ruselius et Caesar paucis comitantibus instantes et longius a suis provecti in aliam Turco- 26 rum multitudinem, quae erat multorum milium, inciderunt, cum quibus vel inviti pugnare coacti et a multitudine circumventi, 27 amissis equis, et Caesar et Ruselius capiuntur. Ac Ruselium 28 uxor mature redemit, Caesarem vero rex. Ad quem dum per- 29 ducitur, cum ad Propontidem venisset, capillo raso mutataque veste monasticam lacernam sumit veritus, ne ob imperii titulum

30 τὴν ἀνάρρησιν. ὁ δέ γε Ῥουσέλιος λυθείς, ὡς εἴρηται, τῆς αἰχμαλωσίας, τὴν γυναῖκα μετὰ τῶν περιλειφθέντων Φράγγων λαβὼν εἰς τὸ τῶν Ἀρμενιακῶν θέμα ἐγένετο, ἐν ᾧ διῆγε καὶ
31 πρότερον. στέλλει τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν πρόεδρον Ἀλέξιον τὸν Κομνηνόν, νέον μὲν ὄντα, ἄνδρα δὲ συνετὸν καὶ 5
32 δραστήριον. ὃς γενόμενος κατὰ τὴν Ἀμάσειαν δι' ἀπορρήτων δηλοῖ τοῖς Τούρκοις ὡς εἰ κατασχόντες τὸν Ῥουσέλιον παρα-
33 δοῖεν τοῦτον αὐτῷ, πολλῶν αὐτοὺς ἐμπλήσει χρημάτων. φιλίαν γοῦν ὑποκριθέντες ἐκεῖνοι πρὸς τὸν Ῥουσέλιον κατέσχον τὸν
B 34 ἄνδρα καὶ πολλῶν αὐτὸν χρημάτων ἠλλάξαντο· ὃς αὐτίκα παρὰ 10 τοῦ Ἀλεξίου δέσμιος ἀπήχθη πρὸς τὸ Βυζάντιον καὶ σφοδρῶς αἰκισθεὶς εἰς πύργον δέσμιος κατεκέκλειστο.

35 Σίτου δὲ γενομένης ἐνδείας ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τούτου, ὥστε μὴ ὅλον μέδιμνον εἰς νόμισμα ἀποδίδοσθαι, ἀλλὰ παρὰ D IV πινάκιον, εἰς ἐπώνυμον τῷ βασιλεῖ τὸ κοινὸν δυστύχημα ἐχρημά- 15 τισεν, ὡς καὶ μέχρι τοῦδε οὕτω καλεῖσθαι τοῦτον τὸν ἄνακτα·
36 οὐ γάρ τις ἄλλως γνωριεῖ τοῦτον εἰ μὴ τὸν Παραπινάκιον εἴποι.

4 *περὶ τοῦ βασιλέως κυροῦ* (de forma *κυροῦ* v. argum ad XVIII 20, 4. 21. 29, 11 et de Boorii indicem Theoph.) *Ἀλεξίου τοῦ Κομνηνοῦ* A, *ὅτι ὁ βασιλεὺς Ἀλέξιος* (*ὁ—Ἀλ.* om. E) *εἷλε τὸν Ῥουσέλιον* CE 13 *ὅπως ἐκλήθη Παραπινάκιος οὗτος ὁ βασιλεὺς* C

1 *γε* om. Ewp 2 *περιληφθέντων* (sic) A 3 *ἀρμενικῶν* D *ἀφίκετο θέμα* C 5 post *δέ* add. *γε* Rwp 6 *τὴν* om. C *ἀμασείαν* D 8 *αὐτῷ τοῦτον* B 9 *οὖν* BDEwp 12 *πύργον* BCwp*Di*, *πῦργον* AR, v. ad XIII 3, 15 15 post *πινάκιον* add. *ὃ ἔστι μεδίμνου τὸ τέταρτον* Cwp, v. praef. *ἐχρημάτισεν* O, *ἐχρημάτισε* AEwp*Di*, v. ad XIII 1, 5 16 *τοῦτον* ante *καλεῖσθαι* Rwp 17 post *τοῦτον* add. *τοῖς περὶ αὐτοῦ* (*αὐτὸν* BD) *λέγουσιν* Rwp, *οἷς περὶ αὐτοῦ διαλέγοιτο* C *εἴποι* AO (*προσθείη* Scylitz. p. 714, 19), *εἴπῃ* Ewp

30 a nepote afficeretur supplicio. At Ruselius e captivitate redemptus, ut dictum est, cum uxore et reliquis Francis in provinciam Ar-
31 meniacorum se contulit, ubi prius quoque vitam egerat. Rex igitur praesidem Alexium Comnenum, adulescentem illum qui-
32 dem, sed prudentem et strenuum, contra eum mittit. Qui cum Amasiam pervenisset, Turcis clam significat, si Ruselium sibi tra-
33 derent, se illis grandem pecuniae summam daturum. Itaque illi amicitia simulata virum comprehensum magna pecunia commu-
34 tarunt; qui statim ab Alexio vinctus et Byzantium perductus et post atrocia tormenta in turri quadam est inclusus.

35 Quia vero sub hoc rege annonae caritate laboratum est, ut non integer medimnus numismate veniret sed pinacio detracto, publica calamitas cognomen illi fecit, ut etiam hodie sic vocetur
36 neque aliter agnoscatur, nisi Parapinacium dixeris.

Τῷ τρίτῳ δ' ἔτει τῆς βασιλείας αὐτοῦ τὸ τῶν Χροβάτων 17
ἔθνος, οὓς δὴ καὶ Σέρβους τινὲς καλοῦσι, κεκίνητο, τὴν τῶν
Βουλγάρων χώραν ἐπικεχειρηκὸς κατασχεῖν. ἀλλὰ μὴν καί 2 C
τινα ταύτης κατεσχηκός, πολλαῖς δὲ μάχαις καὶ φθορᾷ πολλῶν
5 *ἑκατέρωθεν τῶν τε κατισχημένων ἐκπέπτωκε καὶ καταπολε-*
μηθὲν τῶν Ῥωμαϊκῶν ὁρίων ἐξώσθη καὶ εἰς τὰ σφέτερα ἤθη
μένειν ἠνάγκαστο.

Δοῦλος δέ τις τοῦ πατρὸς τούτου τοῦ αὐτοκράτορος Νέ- 3
στωρ ὄνομα, βεστάρχης δὲ τὸ ἀξίωμα, δοὺξ τῶν Παριστρίων
10 *προχειρισθεὶς ἦρεν ὅπλα κατὰ τοῦ βασιλέως. ὁμαιχμίαν γὰρ* 4 W III 229
θέμενος μετά τινος ἀρχηγοῦ Πατζινάκων, ὃς ἐκαλεῖτο Τατούς,
εἰς τὴν τῶν πόλεων βασιλεύουσαν παρεγένοντο καὶ παρενέβαλον
πρὸ αὐτῆς. καταθέσθαι δὲ τὰ ὅπλα τοῦ βασιλέως δηλοῦντος 5
αὐτῷ, ἐκεῖνος ἕτοιμος εἶναι ποιῆσαι τοῦτο ἔλεγεν, εἰ αὐτῷ ὁ
15 *λογοθέτης Νικηφόρος ἐκδοθείη ἢ τέως ἐκ μέσου γένηται, ὡς* D
κοινὴ συμφορὰ καὶ κακὸν ἐπιδήμιον. τοῦτο δὲ τοῦ βασιλέως 6
μὴ ποιοῦντος, ἀπανίσταται μὲν τῆς πόλεως, τὰ τῶν Θρᾳκῶν

1 *περὶ τοῦ τῶν Χροβάτων* (*χορβάτων* C, v. ad XVIII 17, 1) *ἔθνους* C
8 *περὶ τῆς ἀποστασίας τοῦ δούλου* (*τ. δούλ.* om. E) *Νέστορος* CE

1 *πρώτῳ* Scylitz. p. 714, 22, sed v. Segerum l. c. p. 120, 37 *χρωβάτων* AR, *χροβάτων* ex *χρωβάτων* corr. B, *χορβάτων* C, *χροβάτων* CwwpDi, v. ad XVI 18, 19 2 *κεκεκίνητο* w*p 3 *ἀποκεχειρηκὸς* E 4 *φθορὰ* D 5 *κατησχη|μένων* A, *κατισχημένων* O, *κατεσχημένων* EwpDi 6 *χωρίων* BD *σφέτερα*] *ἑαυτοῦ* C 9 post *δοὺξ* add. *δὲ* C 11 *Τάτους* Scylitz. p. 719, 12, *Τατροὺς* Mich. Attal. p. 205, 16 12 *παρέλαβον* D 14 *τοῦτο ποιῆσαι* Rwp 14. 15 *αὐτῷ* alterum post *ἐκδοθείη* C 16 *κακὸν* ARBwwp, *κοινὸν* BD 17 *τῶν* om. Rwp

17. Tertio regni illius anno Crovatorum gens, quos nonnulli vocant Servos, Bulgariam occupare aggressa est ac quae- 2 dam loca cepit, sed multis proeliis factis, multis utrimque caesis, tum iis excidit, quae tenuerat, tum devicta et e finibus Romanorum expulsa in suas redire sedes coacta est.

Servus autem quidam paternus imperatoris, cui nomen erat 3 Nestori, dignitate vestarches, ripae Istri dux designatus arma contra regem cepit et conspiratione cum Tato, quodam Patzinacorum 4 duce, inita castra ante urbem regiam posuit. Monitus autem a 5 rege, ut ab armis discederet, id se facturum respondit, si logotheta Nicephorus, reipublicae pestis et populi clades, sibi dederetur vel e medio tolleretur. Qua re a rege negata, relicta urbe 6

δὲ καὶ τὰ τῶν Μακεδόνων ληΐζεται καὶ ὅσα τούτοις τῆς Βουλγαρίας παράκειται καὶ εἰς τὴν τῶν Πατζινάκων μεταχωρεῖ.

7 *Υἱοῦ δὲ τεχθέντος αὐτῷ ἐκ τῆς ἐξ Ἀλανῶν Μαρίας, ἣν βασίλισσαν ἔστεψε, Κωνσταντῖνον αὐτὸν ὠνόμασεν ἐπὶ τῷ πατρὶ καὶ βασιλικῶς ἐταινίωσε καὶ στείλας πρὸς τὸν Λογγιβαρδίας* 5 *ἡγεμονεύοντα Ῥομπέρτον τὴν ἐκείνου θυγατέρα τῷ υἱῷ ἐμνη-* 8 *στεύσατο, ἣν καὶ ἀχθεῖσαν Ἐλένην μετωνόμασεν. ἐτέχθη δὲ* P II 289 A *τότε ἐν τῷ Βυζαντίῳ παιδίον, ἕνα ἔχον κατὰ τὸ μέτωπον* D II 9 *ὀφθαλμὸν καὶ τραγοσκελές. τῶν μέντοι βαρβάρων τὴν ἑῴαν ληιζομένων καὶ οἷς ἐντύχοιεν ἔργον τιθεμένων μαχαίρας, φεύ-* 10 10 *γοντες οἱ Ἀσιανοὶ τῇ Κωνσταντίνου προσῄεσαν. μή τινος δὲ προνοουμένου τῶν κοινῇ συμφερόντων (ὁ γὰρ βασιλεὺς περὶ λόγους ἠσχόλητο καὶ ἰάμβους συντιθέναι πρὸς τοῦ Ψελλοῦ ἐδι-* 11 *δάσκετο), σιτοδεία τοὺς ἐν τῇ πόλει ἐπίεζεν. ἵνα δ' ἐκφαντικώτερον τὸ πάθος ἐκτραγῳδήσαιμι, λιμὸς ἦν ἄντικρυς τὸ κα-* 15 *κόν, τῷ δὲ παρείπετο καὶ λοιμός, κἀκ τούτου συνέβαινον θάνατοι καὶ οὗτοι συχνοί τε καὶ ἀλλεπάλληλοι, ὥστε ἀδυνατεῖν* 12 *τοὺς ζῶντας ταφῇ παραδιδόναι τοὺς θνήσκοντας. τοσοῦτοι*

3 *ὅτι υἱὸς ἐτέχθη* (*ἐγεννήθη* E) *τῷ βασιλεῖ καὶ ἐστέφθη παρ' αὐτοῦ* (*παρ' αὐτοῦ* om. E) CE 7 *περὶ τοῦ τεχθέντος σημειώδους παιδός* C, *σημεῖον* E 14 *περὶ τοῦ ἐν τῇ βασιλείᾳ τούτου γενομένου λιμοῦ καὶ λοιμοῦ* (*κ. λοιμ.* om. E) CE

1 *τῶν* om. Rwp*Di* 3 *αὐτῷ*] *τῶ βασιλεῖ μιχαὴλ* C post *ἣν* add. *καὶ* Rwp 6 *ῥομπετον* (s. acc.) E 7 *ἑλένην* Osw*Di*, v. ad XIII 1, 2 8 *τότε* om. BD 9 *καὶ* om. BDwp 13 post *λόγους* add. *τάχα* C 14 *δὲ καὶ* D 15 *ἄντικρυς* R*Di*, *ἂν* | (desinit fol. 459u) A, *ἄντικρυ* w*p, v. ad § 26 16 *τούτων* C 18 *διδόναι* C

Thraciam et Macedoniam et his finitima Bulgariae loca praedatus ad Patzinacos se confert.

7 Michaël filium ex Maria Alana, quam reginam appellarat, susceptum Constantinum ob patris memoriam vocavit et regni insignibus adornato Roberti, Longibardiae ducis, filiam despondit, 8 cui adductae nomen Helenae indidit. His temporibus Byzantii infans natus caprinis pedibus, uno oculo in fronte praeditus. 9 Barbaris autem Orientem vastantibus et obvios quosque ferro 10 trucidantibus, Asiani Cpolim confugerunt. Nullo autem bonum publicum curante (nam rex studiis vacans iambos scribere a Psello 11 docebatur), urbanos annonae penuria premere coepit. Quam calamitatem ut evidentius et atrocius declarem, id malum fuit fames, quam pestilentia comitabatur; unde hominum interitus tantus et tam frequens est consecutus, ut viventes morientibus 12 sepeliendis essent impares. Tot enim peribant, ut saepe multi

γὰρ ἦσαν ὡς πολλάκις πολλοὺς ἐν μιᾷ κλίνῃ ἐκφέρεσθαι, κἂν B
ταῖς ἀμφόδοις δὲ ἀτάφους κεῖσθαι πολλούς. ἐντεῦθεν πάντα 13
κατηφείας μεμέστωτο διά τε ταῦτα καὶ ὅτι καὶ ἀδίκοις εἰσπρά-
ξεσιν ἐπιέζετο τὸ ὑπήκοον.
5 Οὕτω δὲ τῶν πραγμάτων ἐχόντων, οἱ τῶν ἑῴων ἀρχόντων 14
προέχοντες συνελθόντες ἀποστασίαν ὠδίνησαν, καὶ τὸν κουρο-
παλάτην Νικηφόρον τὸν Βοτανειάτην εἰς βασιλέα προείλοντο
καὶ ἀνηγόρευσαν αὐτοκράτορα. τοῦτο τὸν βασιλέα θορύβου 15
καὶ δέους ἐνέπλησεν· ᾔδετο γὰρ ὡς ὑπερτερήσει ποτὲ τοῦ ΜΥ
10 στοιχείου τὸ ΝΥ. ἦν δὲ τῶν εὐπατριδῶν ὁ Βοτανειάτης, ἐκ τοῦ 16
Φωκᾶ τὴν τοῦ γένους ἕλκων σειρὰν νομιζόμενος. διακηρυ- 17
κεύεται τοίνυν πρὸς τοὺς Τούρκους ὁ βασιλεύς, ἁδρὰς αὐτοῖς C
ἐπαγγελλόμενος δωρεάς, εἰ τοὺς ἀποστατήσαντας συσχόντες πα-
ραδοῖεν αὐτῷ. ὁ μὲν οὖν Βοτανειάτης ἐξ ἑῴας, ὡς εἴρηται, 18
15 βασιλείας ἑαυτῷ περιθέμενος σχῆμα καὶ ὄνομα ἐφοίτα πρὸς
τὸ Βυζάντιον. ἐξ ἑσπέρας δ' αὖθις ἑτέρας ἀποστασίας ἐπεκυ- 19
225 μάνθη κλυδώνιον· ὁ γὰρ πρόεδρος Νικηφόρος ὁ Βρυέννιος
δοὺξ Δυρραχίου τυγχάνων, ἐπεὶ μεμαθήκει ἀφαιρεθεὶς τὴν

5 ὅτι ὁ Βοτανειάτης παρὰ τῶν ἑῴων ἀρχόντων (ἄρχεται C) βασιλεὺς ἀν-
ερρήθη CE 16 ὅτι καὶ ἐν τῇ δύσει ὁ Βρυέννιος (βρυένιος C) Νικη-
φόρος (ἐν τῇ Δυρραχίῳ (δυραχίω E) ὁ Νικηφόρος Βρύεννιος E) ἀποστα-
σίαν ἐπεχείρησεν CE

2 ἀφόδοις D δὲ om. E 3 καὶ post ὅτι om. D 4 τὸ om. D
5. 6 ἀρχόντων πρ. ARwp, πραγμάτων πρ. B, ταγμάτων πρ. D 8 ἀν-
ηγόρευσεν C 9 ἐπλήρωσεν E, ἐπλήρωσε D μ̅υ̅ A, μῦ C, μ̅ὺ R,
μ̅ D, *M* wp*Di* 10 τὸ Rwp*Di*, τοῦ A νῦ A, νῦ C, ν̅ὺ R, ν̅ D,
N wp*Di* τῶν Rwp*Di*, τὸν A 11 ἕλκειν Rwp*Di* 12 ἀδρὰς
w*p 13 ἐπαγγελόμενος w*p 15 αὐτῶ DEwp ante σχῆμα
add. καὶ BDEwp 17 βρυέννιος EB[s]wp*Di*, βρυένιος AR

in uno lectulo efferrentur, multi in plateis iacerent insepulti.
Quare cum hac de causa tum ob iniquas exactiones omnia erant 13
plena luctu et maerore. •
Quae cum ita essent, orientalium praetorum principes de- 14
fectionem parturientes Nicephorum Botaniatem curopalatem prae-
latum ceteris regem salutant. Quae res ideo regem complevit 15
perturbatione et terrore, quod canebatur littera NY aliquando
fore superior littera MY. Erat autem Botaniates claro natus 16
genere atque a Phoca originem ducere putabatur. Rex igitur 17
per caduceatores ingenti pecunia promissa a Turcis petit, ut se-
ditiosos sibi tradant. Botaniates autem regio habitu et nomine 18
usurpato ex Oriente, ut diximus, Byzantium contendit. Sed et 19
ab Occidente alia seditionis tempestas exstitit; nam praeses Nice-

*ἀρχήν, ἀφίσταται καὶ αὐτὸς καὶ περιβάλλεται τὰ τῆς βασιλείας
παράσημα καὶ τοῖς ἐκεῖ παροῦσι δορυφορούμενος τάγμασιν εἰς
20 τὴν Ἀδριανούπολιν ἀπῄει, ἀφ' ἧσπερ καὶ ὥρμητο, καὶ τῷ
ἀδελφῷ Ἰωάννῃ ἐκεῖ ἑνωθεὶς πλῆθός τε στρατιωτῶν ἐκεῖθεν
D ἐθνικῶν τε καὶ Μακεδόνων πείσας συνάρασθαί οἱ τῆς τυραν- 5
21 νίδος ἀπήρξατο. τισὶ δὲ τῶν τοῦ Βρυεννίου ὁ Θεοδωροκάνος
22 συμμίξας ἡττᾶταί τε καὶ ἁλίσκεται. προσερρύησαν δὲ τῷ Βρυ-
εννίῳ καὶ οἱ Ῥαιδεστηνοί, ἀλλὰ μέντοι καὶ οἱ οἰκοῦντες τὸ Πά-
23 νιον. εἴχετο τοίνυν τῆς ἀποστασίας ὁ Βρυέννιος κραταιῶς, τὸν
ἀδελφὸν κουροπαλάτην τιμήσας καὶ στείλας σὺν δυνάμει πρὸς 10
24 τὸ Βυζάντιον, ὡς αὐτίκα τοῦτο παραληψόμενον. ᾐώρητο γὰρ
ἐλπίσιν ὡς ὑπτίαις, τὸ τοῦ λόγου, χερσὶν οἱ τῆς συγκλήτου
W III 230 βουλῆς αὐτὸν ὑποδέξονται διὰ τὴν πρὸς τὸν λογοθέτην Νικη-
P II 290 A φόρον ἀπέχθειαν καὶ τὴν τοῦ βασιλέως ἀφέλειαν· ἀλλ' οὐ κατὰ
25 τὸν σκοπὸν αὐτῷ καὶ τὰ πράγματα ἀπηντήκασιν. ἐπελθόντες γὰρ 15
οἱ σταλέντες τῷ τείχει τῶν Βλαχερνῶν ἠκροβολίσαντο μέν,
26 ἤνυσαν δὲ οὐδέν. ὅθεν διὰ τῆς γεφύρας διαβάντες εἰς τὴν
ἀντικρὺ τῆς πόλεως ἤπειρον τὰς ἐκεῖ τυγχανούσας οἰκοδομὰς
παρέδοσαν τῷ πυρὶ κἀκεῖθεν εἰς τὸν Ἀθύραν ὑπέστρεψαν.*

3 *ἐπήει* BD 6. p. 717, 3. 6 *βρυεννίου* Rwp*Di*, *βρυενίου* AC
6 *θεοδωροκάνος* ARwp Scylitz. p. 728, 11, Mich. Attal. p. 247, 12,
Θεοδωροκᾶνος Di 7 *βρυεννίω* R(wp*Di*), *βρυενίω* AC
8 *δ***δεστηνοὶ* E *πάνιον* AOwp*Di* (Scylitz. p. 729, 10, Mich. Attal.
p. 249, 3), *πάννιον* E 9. p. 717, 10 *βρυέννιος* Rwp*Di*, *βρυένιος*
AC 14 *ἀφελεῖ* C 15 *αὐτῷ* R[s]wp*Di*, *αὐτὸν* A 18 *ἄντικρυ*
w*p invitis AR, v. ad p. 552, 16. 622, 7 19 *τῷ* om. D

phorus Bryennius, Dyrrhachii dux, cum sibi abrogatam esse di-
gnitatem cognovisset, et ipse deficit regni insignibus arreptis et
legionum, quas ibi habebat, custodia munitus Hadrianopolim
20 petit, unde ortus erat; ubi fratre Ioanne adiuncto et militibus
gentilibus et Macedonibus multis ad se pellectis, tyrannidem au-
21 spicatur. Theodorocanus autem cum parte copiarum illius con-
22 gressus et vincitur et capitur. Quin et Rhaedestini et Panii in-
23 colae ad Bryennium confluxerunt. Itaque defectionem naviter
urgens Bryennius fratrem curopalatem designatum cum copiis
24 Byzantium misit, quasi statim capturus esset urbem. Eam enim
spem alebat se a senatu tam ex odio adversus logothetam Nice-
phorum, quam ob regis simplicitatem supinis, ut aiunt, manibus
susceptum iri; neque vero res illi ex animi sententia cesserunt.
25 Nam ii, quos miserat, Blachernarum moenia adorti levia quae-
26 dam proelia fecerunt, neque vero quicquam profecerunt. Unde
per pontem in obversam urbi continentem progressi aedificia

οὕτω δ' ὁ βασιλεὺς περιστατούμενος πάντοθεν τὸν Ῥουσέλιον 27
λύει τε τῶν δεσμῶν καὶ ῥήμασι καὶ χρήμασι τὸν ἄνδρα ἐκ-
μειλιξάμενος ἐπελθεῖν πείθει τῷ τοῦ Βρυεννίου ὁμαίμονι μετὰ
τοῦ προέδρου Ἀλεξίου τοῦ Κομνηνοῦ, στρατραρχοῦντος τῆς τῷ
5 βασιλεῖ κατὰ τὸ Βυζάντιον προσούσης δυνάμεως. ὃ μαθὼν ὁ 28
226 τοῦ Βρυεννίου ἀδελφὸς ἔφθη διαδράς. τῶν Μακεδόνων μέντοι 29 B
καταληφθέντες πολλοὶ οἱ μὲν ἔπεσον, οἱ δ' ἑάλωσαν.

Ἐν τοσούτῳ δὲ καὶ Πατζινάκων πλῆθος ἐπῆλθε κατὰ 18
Ἀδριανουπόλεως καὶ περὶ ταύτην παρεμβαλόντες τὴν πέριξ
10 αὐτῶν ἐληίζοντο χώραν, οὓς ὁ Βρυέννιος δεξιωσάμενος χρή-
μασι μεταναστῆναι τῆς πόλεως ἔπεισε. περὶ δέ γε τὴν Κύζικον 2
τῷ ἀδελφῷ αὐτοῦ ἀπελθόντι καὶ πειρωμένῳ ὑπαγαγέσθαι τοὺς
ἐκεῖ ὁ Ῥουσέλιος ἐντυχὼν ἐτρέψατο κατὰ κράτος αὐτόν.

Ἄρτι δὲ τοῦ πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου πρὸς τὰς 3
15 αἰωνίους μεταθεμένου μονὰς ἐπὶ δέκα ἐνιαυτοὺς ἐφ' ἑνὶ καὶ
μησὶν ἑπτὰ τὴν ἐκκλησίαν ποιμάναντος προεχειρίσθη πατριάρχης
Κοσμᾶς μοναχός, λόγοις μὲν οὐχ ὡμιληκώς, ἀρεταῖς δὲ παν- C
τοίαις κοσμούμενος καὶ διὰ τοῦτο καὶ πρὸς τοῦ βασιλέως ἐξ-
όχως τιμώμενος.

1 ὅτι ὁ Κομνηνὸς Ἀλέξιος καὶ ὁ Ῥουσέλιος ἀπεστάλησαν κατὰ τοῦ Βρυεννίου (Βρυενίου C) C 14 περὶ πατριαρχῶν CE

1 σ*σέλιον E, corr. Ew 2 τε om. B 6 ἔφη C 7 καταλειφθέντες BDEwp δὲ E 8 καὶ om. C 9 ἀνδριανουπόλεως D, ἀδριανούπολιν C 10 αὐτῆς D 11 μεταστῆναι Ewp κύζυκον (sic) A 12. 13 τῷ ἀδελφῷ—ὁ ῥου om. C, suppl. Cw, v. *B-W Byz. Zeitschr.* a. 1892 p. 207 et 216, 2 12 ἐπελθόντι D 16 προχειρίσθη w*p 17 παντόαις E, πανταίαις w*p

incenderunt indeque Athyram redierunt. Rex vero tantis undi- 27
que malis vexatus Ruselio vinculis soluto et verbis et pecunia
delinito persuadet, ut una cum Alexio Comneno praeside, qui
copiis Byzantinis praeerat, Bryennii fratrem invadat. Quibus 28
rebus ille mature cognitis fuga salutem petit. Multi tamen Mace- 29
dones occurrentes partim caesi, partim capti sunt.

18. Interea Patzinacorum multitudo Hadrianopolim aggressa
castris positis agros sibi proximos vastat, a quibus Bryennius
pecunia data impetravit, ut ab urbe recederent. Ruselius vero 2
eius fratrem Cyzicum invadentem ac gentem illam subigere co-
nantem proelio victum profligavit.

Patriarcha Ioanne Xiphilino in aeternas mansiones trans- 3
lato, cum ecclesiam annos XI et menses VII rexisset, patriarcha
est designatus Cosmas monachus, ineruditus ille quidem sed
omnis generis virtute ornatus, qua de causa a rege quoque plu-
rimi aestimabatur.

4 *Ὁ μέντοι Βοτανειάτης ἐκ διαφόρων γενῶν ἑαυτῷ περι-
ποιησάμενος τάγματα καὶ Τούρκους προσηταιρίσατο, ὧν ἐξῆρχεν
ὁ Κουτλουμοῦς, τῶν παρὰ Πέρσαις τυγχάνων περιφανῶν, ὃς
τῷ σουλτάνῳ κατὰ γένος προσήκων περὶ τῆς ἀρχῆς αὐτῷ δι-
5 εφέρετο, καὶ πρὸς πολέμους ἤδη χωρεῖν ἡτοιμάζοντο. τοῦτο* 5
*τῷ χαλιφᾷ ἀγγελθὲν (οὗτος δὲ παρ' αὐτοῖς ὑπερβαλλόντως τε-
τίμηται, ὡς ἐκ τοῦ γένους τοῦ Μουχούμετ κατάγεσθαι νομι-
ζόμενος) εἰς ἀγωνίαν ἐνέβαλεν ἵνα μὴ παρ' αὐτοῖς ἐμφύλιος
6 γένηται πόλεμος. αὐτίκα τοίνυν εἰ καὶ τῆς οἰκείας διατριβῆς
D μὴ ἐξιέναι τῷ χαλιφᾷ μηδὲ δημοσιεύειν νενόμισται, ἐκεῖνος τοῦ* 10
*ἔθους καταφρονήσας ἔξεισι καὶ ἄπεισι πρὸς τοὺς περὶ τῆς ἀρχῆς
ἀντερίζοντας καὶ πείθει τούτους τῆς μὲν μάχης ἀφέξεσθαι, τὸν δὲ
σουλτὰν ἔχειν μὲν τὴν οἰκείαν ἀρχὴν ἀνακρωτηρίαστον, συν-
άρασθαι δὲ τῷ συγγενεῖ παντοίως, ἐν κατασχέσει γενέσθαι χώ-* D II
7 ρας Ῥωμαϊκῆς καὶ ταύτης ἄρχειν. ἐπὶ τούτοις γενομένων ἐκεί- 15
*νοις συμβάσεων, ὁ Κουτλουμοῦς εἰς τὴν ὑπὸ Ῥωμαίους ἐγένετο
8 καὶ τότε τῷ Βοτανειάτῃ συνεστρατεύετο. ἔχων οὖν στρατιὰν*

1 ὅτι (ὅπως E) οἱ Τοῦρκοι τὰς Ῥωμαϊκὰς κατέσχον χώρας ἐν τῇ ἑῴᾳ καὶ ᾠκειώσαντο CE

1 ποιησάμενος B 3 κουτλουμοῦς A Scylitz. p. 732, 6, κουτλουμοὺς RwpDi, κουλτουμοὺς C 4 σουλτὰν Owp, σουλτᾶν E προσήκων RwpDi, προςῆκον A 5 ἡτοιμάζετο E 6 ἀπαγγελθὲν Ewp ὑπερβαλλόντως RwpDi, ὑπερβαλόντως AD, rectam formam omnes libri exhibent XVIII 20, 1 τετίμητο w*p invitis AR 7 μαχουμὲτ Ewp 8 post ἀγων. add. ἐκεῖνον C ἀνέβαλεν D 10 Χαλυφᾷ p* 12 ἀποσχέσθαι C, sed v. ad XIV 5, 2 13 οἰκείαν om. D ἀκρωτηρίαστον C, corr. Cw 14 δὲ post συγγενεῖ B πάντως BD 16 κουτλουμοῦς A, κουτλουμοὺς BswpDi, κουτουλμοὺς C, |τλουμοὺς D, κουτλουμὸς E, v. ad vs. 3 17 τότε post βοταν. B

4 Ceterum Botaniates legionibus e diversis gentibus conflatis etiam Turcos sibi conciliavit, quorum dux erat Cutlumus, Persa illustris, qui cum sultano, cui genere erat propinquus, de regno
5 contendebat; iamque ad arma res spectabat. Id chaliphae, cuius apud illos maxima est auctoritas, ut qui a Muchumeto ortum sumere putetur, magnum dolorem attulit, quod inter ipsos
6 bella civilia essent oritura. Quamvis igitur moris non esset, ut suo loco excederet et in publico versaretur, tamen ille instituto neglecto ad eos abit, qui de regno litigabant, iisque persuadet, ut omisso bello sultanus principatum suum teneat integrum cognatoque omni ope praesto sit, ut Romanis provinciis subactis
7 imperet. Quibus pactionibus firmatis Cutlumus Romanam di-
8 tionem ingressus Botaniatae operam navat, qui iustis copiis in-

ἀξιόλογον ὁ Βοτανειάτης μεθ' ἑαυτοῦ ἔσπευδε τὴν Νίκαιαν καταλήψεσθαι. ἤδη γὰρ προὐδέδοτό οἱ ἡ πόλις αὕτη παρὰ τῶν 9 τεταγμένων αὐτῆς ἐπὶ φυλακῇ, κἀκεῖνοι αὐτῷ ἐθελονταὶ προσεχώρησαν, κἀκ τῆς μεγαλοπόλεως δὲ πολλοὶ καθ' ἑκάστην προσ- P II 291 A
5 εφοίτων αὐτῷ. οὕτω μὲν οὖν τῷ Βοτανειάτῃ κατὰ ῥοῦν ἐχώ- 10 ρουν τὰ πράγματα· ἐν δὲ τῇ τῶν πόλεων ὑπερκειμένῃ παμπληθεὶ συνελθόντες τό τε ταύτης δημοτικὸν καὶ τὸ ὑπερέχον ἐν ἄρχουσιν, οὐ μὴν ἀλλὰ καὶ τῶν τῇ ἐκκλησίᾳ κεκληρωμένων τὸ ἔκκριτον, κατὰ τὴν ἡμέραν τῆς τοῦ εὐαγγελισμοῦ
10 πανηγύρεως αὐτοκράτορα τὸν Βοτανειάτην ἀναγορεύουσι, προεξάρχοντος τοῦ τοιούτου συλλόγου τοῦ πατριάρχου Ἀντιοχείας, τοῦ καλουμένου Αἰμιλιανοῦ, καὶ τοῦ μητροπολίτου Ἰκονίου. διαιρεθέντες οὖν κατὰ φατρίας τῆς πολιτείας οἱ ἔξοχοι καὶ 11 κατὰ φάλαγγας συνασπίσαντες ἐπίασι τῶν ἀνακτόρων τοῖς πρὸς
15 ἀνίσχοντα ἥλιον καὶ τούτων κρατήσαντες στρατιώτας οἰκείους ἐφιστῶσιν εἰς αὐτῶν φυλακήν. τὸν δὲ βασιλέα σὺν τῇ βασι- 12 B W III 23 λίσσῃ Μαρίᾳ καὶ τῷ υἱῷ εἰς τὰ ἐν Βλαχέρναις καταπεφευγότα ἀνάκτορα καθαιροῦσι τῆς βασιλείας καὶ ῥάκος ἀμφιεννύουσι

1 ὅτι ὁ Βοτανειάτης κατέσχε τὴν Νίκαιαν CE 6 ὅτι ὁ δῆμος τῆς πόλεως βασιλέα ἀνεῖπε (ἀνεῖπεν αὐτοκράτορα E) τὸν Βοτανειάτην CE καὶ τὸν Μιχαὴλ καθεῖλον καὶ ἀπέκειραν C

1 μεθ' ἑαυτοῦ RwpDi, μετ' αὐτοῦ A 2 προδέδοτό C περὶ C 3 αὐτῆς] αὐτοῖς C ἐθελονταὶ αὐτῶ E(wp) 4 μεγάλης πόλεως Ewp 5 ἐχώρει BDEwp 6 παμπληθεὶ RDi, παμπληθεῖ ADwp, παμπληθεὶς E 7 δημοτικὸν ταύτης BDEwp 8 οὐ μὴν ἀλλὰ AR, ἀλλὰ μὴν BDwp post τῶν add. ἐν BDEwpDi 9 τῆς om. E 12 αἰμιλιανοῦ B[s]wpDi Scylitz. p. 733, 19, αἱμιλιανοῦ AR, v. ad XVIII 19, 25 13 διακριθέντες BD φρατρίας wp invitis AR τῆς πολιτείας om. D 14 ἐπίασι RwpDi, ἐπίασιν | A, v. ad XIII 1, 5 post πρὸς add. τὸν wpDi invitis AR 16 συνιστῶσιν BD βασιλευούσῃ E(wp) 18 καταιροῦσι p* ῥάκκος B

structus Nicaeam occupare properabat. Iam enim praesidiarii 9 Nicaeae milites prodita urbe ultro se cum ipso coniunxerant, et a magna urbe cotidie multi ad illum confluebant. Ita rebus ex 10 sententia succedentibus Botaniates in urbe principe frequentissimo conventu plebis et primorum ex magistratibus et selectorum sacerdotum celebri annuntiationis festivitate rex appellatur, Aemiliano patriarcha Antiocheno et metropolita Iconii auctoribus. Igitur reipublicae primores tributim divisi et phalangis instar 11 conglobati regiam Orienti obversam invadunt et suorum militum praesidio firmant. Regem vero, qui cum regina Maria et filio 12 in Blacherniam regiam confugerat, erepto regno lacernaque mo-

μοναχοῦ καὶ πρὸς τὴν μονὴν τοῦ Στουδίου ἀπάγουσιν, ἀπο-
13 λελαυκότα τῆς βασιλείας ἐν ἔτεσιν ἓξ καὶ τοσούτοις μησί. ταῦτα
κατὰ τὸ σάββατον γέγονεν, ἐν ᾧ τὴν ἐπὶ τῇ ἐκ νεκρῶν ἐγέρσει
τοῦ Λαζάρου θαυματοποιίαν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν
14 πανηγυρίζειν ἡ ἐκκλησία παρείληφε. τοῦ γὰρ Μιχαὴλ οὕτω 5
τῆς βασιλείας ἐκπεπτωκότος, ἀπραγμάτευτον εὗρεν ὁ Βοτα- D I
νειάτης τὴν αὐταρχίαν καὶ ᾔει πρὸς τὴν βασιλίδα τῶν πόλεων.
15 ὁ μέντοι Νικηφόρος ὁ λογοθέτης τῷ Ῥουσελίῳ ἐν Ἡρακλείᾳ
C 16 σκηνουμένῳ τῆς πόλεως ὑπεξελθὼν προσεχώρησεν. οἱ δ' ἐν
τῇ πόλει τὸν Μιχαὴλ κατασπάσαντες, ἐπὶ τρισὶν ἡμέραις βασι- 10
λέως χηρεύοντα συντηρήσαντες τὰ βασίλεια τῷ Βοτανειάτῃ ἐπι-
17 σπεῦσαι καὶ ἐλθεῖν ἐπιστέλλουσιν. ὁ δὲ ἕνα τῶν οἰκείων δού-
λων προπέμψας, τὸν Βορίλαν φημί, καὶ δι' αὐτοῦ κατασχὼν
τὰ ἀνάκτορα ἐπικατέλαβε κἀκεῖνος μετ' οὐ πολύ.

19 Ἐπεὶ δ' ἐν τοῖς βασιλείοις ὁ Βοτανειάτης ἐγένετο, ἀνα- 15
δεῖται κατὰ τὴν μεγάλην τρίτην παρὰ τοῦ πατριάρχου βασιλικῇ
ταινίᾳ καὶ πρῶτον ἅπασι παρέσχετο φιλοτίμημα τὰς εἰς τὸ δη-

5 ὅπως ὁ Βοτανειάτης τῆς βασιλείας ἐδράξατο CE 15 βασιλεία Νικηφόρου (om. B) τοῦ Βοτανειάτου AR

2 μησὶ τοσούτοις Ewp; apud Scylitz. p. 734, 6 videntur excidisse καὶ μῆνας ἕξ coll. Mich. Attal. p. 270, 23 post ταῦτα add. δὲ C 3 τὴν ἐπὶ RwpDi, τῇ ἐπὶ AD 4 τοῦ λαζάρου om. C post κυρίου add. καὶ θεοῦ Ewp, om. AO*Wo* lat. 5 γὰρ A, γοῦν Rwp 5. 6 τῆς ἀρχῆς οὕτως O 6. 7 εὗρεν ὁ βοτ. τὴν βασιλείαν, quorum duobus verbis ultimis ascripsit γρ' τὴν αὐταρχίαν A, εὗρε τὴν αὐταρχίαν ὁ βοτ. Ewp, εὗρεν ὁ βοτ. τὴν βασιλείαν O 8 λεγοθέτης p* 10 ἐπὶ τρισὶν ἡμέραις om. D βασιλεύοντος BD, βασιλέως Bw 12 δοῦλον D 13 πέμψας O βορίλαν AEwp (v. Niceph. Bryenn. p. 146, 11, 147, 9), βορίλον O Scylitz. p. 734, 23 16. 17 ταινία βασιλικῇ E(wp) 17 παρέσχετο AC, παρέσχε τὸ Rwp*Di*

nastica induta in Studii monasterium abducunt, cum regnum
13 annos sex et menses totidem tenuisset. Id eo sabbato actum,
quo ecclesia secundum morem a maioribus acceptum domini et
servatoris nostri in Lazari resurrectione miraculum celebrare solet.
14 Michaële enim ad hunc modum pulso, Botaniates imperio
15 nullo negotio potitus ad urbem proficiscitur. Verum Nicephorus
logotheta clam egressus ad Ruselium Heracleae castra habentem
16 se contulit. Urbani vero, qui Michaëlem pepulerant, asservata
regia per triduum principe destituta Botaniatem per litteras mo-
17 nent, ut propere veniat. Is igitur Borila uno de servis misso,
qui illam occuparet, ipse haud ita multo post est consecutus.
19. Botaniates, cum in regiam venisset, a patriarcha feria

μόσιον ἁπάντων κοινῶς ὀφειλὰς ἐκτεμὼν ἀπροσδιορίστως καὶ
χρεοκοπίαν τούτων θεσπίσματι μεγαλοπρεπῶς ἐργασάμενος. ἔτι 2
δὲ τῷ Βρυεννίῳ κατὰ τὴν ἑσπέραν ἐχομένῳ τῆς τυραννίδος D
στέλλει τοὺς ἀπαγγέλλοντας τὴν τοῦ Καίσαρος ἀξίαν αὐτῷ δι-
5 δόναι, εἰ τῆς τυραννίδος ἀπόσχοιτο, καὶ τοῖς αὐτῷ συναρα-
μένοις τὰς τιμὰς ἐπιβεβαιῶσαι, αἷς αὐτοὺς ἐκεῖνος ἐτίμησεν. ὁ 3
δὲ σφόδρα τῆς βασιλείας ἐφίετο καὶ ἀνένδοτος ἦν· πάλιν οὖν
ἑτέρα πρεσβεία καὶ ἐπὶ ταύτῃ τρίτη. ὁ δ' ὑπερηφανεύετο καὶ 4
οὐδὲ κατὰ τὰ τῶν πρέσβεων νόμιμα τοὺς πρέσβεις ἐδέχετο,
10 ἀλλ' ἀτίμως αὐτοὺς ἀπεπέμπετο. ὡς οὐδὲν οὖν εἰρηνικῶς 5
ἀνύειν ἔγνω ὁ βασιλεύς, καὶ ἄκων πρὸς μάχην ἀπένευσε, καὶ
τὸν Κομνηνὸν Ἀλέξιον τετιμηκὼς νωβελίσιμον καὶ προχειρι-
σάμενος μέγαν δομέστικον καὶ τῶν Ῥωμαϊκῶν αὐτὸν δυνάμεων P II 292 A
προστησάμενος κατὰ τοῦ Βρυεννίου ἐξέπεμψεν· ὃς τούτῳ συμ- 6
229 βαλὼν κατά τι χωρίον Καλαβρύην λεγόμενον διὰ τὸ κατάρ-
ρυτον εἶναι τὸν τόπον βρύσεσιν ὑδάτων πολλαῖς τε καὶ ἀγαθαῖς
ῥᾳδίως τῆς ἐκείνου περιεγένετο στρατιᾶς, καὶ τῶν μὲν πεσόν-
των, τῶν δὲ φυγόντων, εἷλε μονωθέντα τὸν τυραννήσαντα καὶ

2 ὅπως ὁ Βρυέννιος (βρυένιος C) τυραννῶν ἑάλω καὶ ἐτυφλώθη C

1 |κοινὰς ὀφειλὰς ἁπάντων D 2 χρεωκοπίαν BD, χρεωκοπίοις E 3 βρυεννίω R(wp*Di*), βρυενίω AC 5 συναρ. αὐτῶ C 6 αἷς] ὡς B 8 ἑτέρα] τέρα C ἐπ' ἐκείνη C 9 τὰ Rwp*Di*, om. ACD 10 οὖν οὐδὲν BDwp post εἰρην. repetit οὐδὲν | C 11 ἐπένευσε B 12 νωβε|λίσιμον Awp, νωβελλίσιμον R, νωβελίσσιμον *Di*, v. ad XV 8, 2 13 μέγα A, corr. Ar 14. p. 722, 2. 723,7 βρυεννίου Rwp*Di*, βρυενίου AC ἐξέπεμψεν Rwp*Di*, ἐξέπεμψε A, v. ad XIII 1, 5 16 πολλῶν | τε καὶ ἀγαθῶν Ewp

tertia magnae hebdomadis corona ornatus primum illud liberalitatis specimen edidit, ut, quaequae fisco deberentur, prorsus omnia aboleret ac novas tabulas illustri edicto institueret. Bry- 2 ennio vero, qui tum in Oriente tyrannidem tenebat, per legatos Caesaris honorem pollicetur, si tyrannide abstineat, eiusque adiutoribus honorum, quos iam ab illo accepissent, confirmationem. Sed cum ille regni cupiditate aestuans non cederet, sed et alte- 3 ram et tertiam legationem superbe repudiasset, legatis contra 4 morem exceptis et cum ignominia dimissis, rex desperatis quietis 5 condicionibus invitus bellum suscepit et Comnenum Alexium nobilissimi titulo ornatum et magnum domesticum designatum praefectumque Romanis legionibus contra Bryennium misit. Is cum 6 eo congressus loco, qui a frequentibus bonisque aquae scaturiginibus Calabrya dicitur, illius exercitu facile superato, aliis caesis, aliis fugatis tyrannum destitutum cepit ac miserum ho-

τοῦ φωτὸς τὸν δείλαιον ἀπεστέρησε καὶ εἰσήγαγε τυφλὸν εἰς
7 *τὴν βασιλεύουσαν. καὶ ἡ μὲν τοῦ Βρυεννίου εἰς τοῦτο τέλους*
κατήντησεν ἐπανάστασις· ἐπανέστησαν δὲ καὶ οἱ Βάραγγοι κατὰ
8 *τοῦ βασιλέως, ἀνελεῖν αὐτὸν μελετήσαντες. ἀντιταξαμένης δ'*
αὐτοῖς χειρὸς ἑτέρας Ῥωμαϊκῆς, εἰς ἱκεσίαν ἐτράποντο καὶ συγ- 5
γνώμης ἐπέτυχον.

B 9 *Τῷ δὲ βασιλεῖ τούτῳ τῆς ὁμοζύγου τελευτησάσης, πολλαὶ*
μὲν ἐμνηστεύοντο παρθένοι, καὶ πρὸ τῶν ἄλλων ἡ τοῦ βασι-
10 *λέως τοῦ Δούκα θυγάτηρ Ζωή. ὁ δὲ ἢ τὴν βασιλίδα Εὐδο-*
κίαν ἤθελεν ἀγαγέσθαι ἢ τὴν ἐξ Ἀλανῶν Μαρίαν, τὴν τῷ πρὸ 10
11 *αὐτοῦ συνοικήσασαν. στέλλει γοῦν τὴν Εὐδοκίαν μετακαλού-*
μενος· ἡ δέ, ὡς λόγος, οὐκ ἀπηνήνατο, ἐκωλύθη δὲ πρὸς τοῦτο
12 *ὁ βασιλεὺς παρά τινων μοναχῶν. καὶ ἄγεται τὴν βασιλίδα*
W III 232 *Μαρίαν, οὐδὲν ἧττον παρανομήσας ἢ εἰ τὴν Εὐδοκίαν ἠγάγετο·*
13 *μοιχεία γὰρ ἦν ἀπηρυθριασμένη τὸ τολμηθέν. διὸ καὶ ὁ τὴν* 15
14 *ἱερολογίαν τετελεκὼς ἐπ' αὐτοῖς τῆς ἱερωσύνης ἐκπέπτωκεν. ὁ*
C *μέντοι προβεβασιλευκὼς Μιχαήλ, ὡς εἴρηται, τὴν τρίχα καρείς,*

2 *ἐπανάστασις τῶν Βαράγγων* C 7 *ὅτι τὴν πρὸ τοῦ αὐτοῦ βασιλέως γυναῖκα ἔγημεν ὁ Βοτανειάτης* C 16 *ὅτι μητροπολίτης Ἐφέσου ἐχειροτονήθη ὁ τῆς βασιλείας ἐκπεσὼν Μιχαήλ* C

2 *καὶ ἡ μὲν*] *ἡ μὲν οὖν* C 3. 4 *τῶ βασιλεῖ καὶ οἱ βάραγγοι* C 5 *ἑτέρας* om. D 7 *δὲ* om. B *βοτανειάτῃ* C *Wo* lat. *τούτῳ*] *πάλαι* C 8 *ἐμνηστεύοντο παρθένοι*] *παρθένοι ἐμνηστεύοντο βασιλεύσαντι, καὶ ταῦτα ὄντι παρήλικι,* C *Wo* lat. post *βασιλέως* add. *κωνσταντίνου* C 9 *θυγάτηρ* om. B 10 *ἀγαγέσθαι εὐδόκει* C *ἐξ ἀλανῶν* Rwp*Di*, *ἐξαλαμανῶν* A 11 *συνοικήσουσαν* D *γοῦν*] *δὲ* C 12 *ἀπανήνατο* E 14 post *μαρίαν* add. *τὴν τῶ πρὸ αὐτοῦ συνοικήσασαν* E(wp), om. AO*Wo* lat. post *ἠγάγετο* add. *εἰ μὴ καὶ μᾶλλον·* C*Wo* lat. 16 *ἱεροσύνης* w*p invitis AR 17 *εἴρηται*] XVIII 18, 12 post *καρεὶς* add. *καὶ* Rwp

7 minem caecatum in urbem perduxit. Hunc Bryennii motus exitum habuit; sed et Varangi regem seditione interficere conati
8 ab alia Romana manu oppressi conversique ad preces veniam impetrarunt.
9 Cum autem huius regis uxor obiisset, multae virgines ei
10 offerebantur ac prae ceteris Constantini Ducae filia Zoë. Verum illi placebat aut reginam Eudociam ducere aut Mariam Alanam
11 decessoris coniugem. Misit igitur ad Eudociam, quam ferunt coniugium non recusasse, sed monachis quibusdam vetantibus
12 Mariam reginam ducit, qua in re nihilo rectius fecit, quam si Eudociam accepisset; id enim facinus impudens erat adulterium.
13. 14 Ille certe, qui sacrum nuptiale peregerat, sacerdotio excidit. Michaël vero pridem rex, tonsa coma, ut dictum est, concilii suf-

ψήφῳ συνοδικῇ μητροπολίτης Ἐφέσου κεχειροτόνητο καὶ ἅπαξ φοιτήσας ἐκεῖ ἐπανῆλθε καὶ ἐν τῇ τοῦ Μανουὴλ μονῇ ἐποιεῖτο τὴν δίαιταν. μετὰ δὲ τὸ τὸν Βοτανειάτην τῆς βασιλείας ἐκ- 15 πεπτωκέναι θνήσκων οὗτος ὁ Μιχαήλ, πολλὰ δεηθείσης αὐτοῦ 5 τῆς βασιλίσσης Μαρίας, ἤδη κἀκείνης μοναχῆς γεγονυίας, συγγνώμην ἔνειμε ταύτῃ καὶ συγχώρησιν ἐπηύξατο ἐκ θεοῦ.

230 Ὁ δὲ πρωτοπρόεδρος Νικηφόρος ὁ Βασιλάκιος, τοῦ Βρυ- 16 εννίου γενόμενος ἐπὶ τῷ Δυρραχίῳ διάδοχος, καὶ αὐτὸς ἔρωτα τῆς βασιλείας ἐνεκυμόνησε καὶ στρατιὰν ἀθροίσας σὺν αὐτῇ 10 πρὸς Θεσσαλονίκην ἀνήει. ἔνθα μαθὼν ὡς ὁ Βοτανειάτης βε- 17 βασιλεύκει, ἐκείνῳ μὲν ἐπέστειλε δουλικῶς, λάθρᾳ δὲ τὰ τῆς D ἀποστασίας ἐτύρευε καὶ πρὸς συμμαχίαν μετεπέμπετο Πατζινάκας. ὃ γνοὺς ὁ Βοτανειάτης χρυσόβουλλον αὐτῷ στέλλει 18 γραφήν, ἅμα μὲν περιποιοῦσαν αὐτῷ ἐφ' οἷς ἐτόλμησε τὸ ἀμέ- 15 ριμνον, ἅμα δὲ καὶ τιμὴν αὐτῷ νωβελισίμου βραβεύουσαν· ἀλλ' ἐκεῖνος ἄτεγκτος ἦν. ὅθεν καὶ κατ' αὐτοῦ ὁ Κομνηνὸς 19 Ἀλέξιος στέλλεται, τιμηθεὶς σεβαστός, καὶ κατὰ Θεσσαλονίκην γενόμενος καὶ τῷ Βασιλακίῳ συμμίξας τοὺς περὶ ἐκεῖνον κατ-

7 ἀποστασία τοῦ Βασιλακίου καὶ ἅλωσις καὶ πήρωσις τῶν ὀφθαλμῶν αὐτοῦ C

6 ἐνείματο C 7 ante νικηφ. add. ὁ D 10 ὡς RwpDi, om. A βεβασίλευκε D 11 τὰ om. D 12 μετεπέμπετο AR, μετεπέμπεται w*, μεταπέμπεται p* πατζινάκους BEwp, πατζινάκους ex πατζινάκας mut. D 13 χρυσόβουλλον CEwpDi, χρυσόβουλον AR 14 περὶ ποιοῦσαν (sic) A 15 ἅμα δὲ RwpDi, om. A νωβελισίμου ADwp, νωβελλισίμου R, νωβελισσίμου Di, v. ad XV 8, 2 16 ἄτεγκτος RwpDi, ἄτεκτος AD 18 βασιλείῳ D τοὺς RwpDi, τοῖς A

fragiis Ephesi metropolitanus est creatus; et cum semel eo venisset, reversus in Manuelis monasterio vitam egit. Post amissum 15 a Botaniata imperium a Maria regina, et ipsa iam monacha facta, moribundus veniam suppliciter oratus ignovit mulieri ac deum rogavit, ut itidem ei ignosceret.

Ceterum protoproëdrus Nicephorus Basilacius, qui Bryennio 16 in Dyrrhachii praefectura successerat, et ipse regni cupiditate aestuans collecto exercitu Thessalonicam proficiscitur. Ubi cum 17 didicisset Botaniatem rerum potitum esse, serviles ad eum litteras dedit; interim vero clam defectionem moliebatur, Patzinacis in auxilium evocatis. Quo Botaniates cognito, aurea bulla missa 18 et impunitatem ei et nobilissimi honorem pollicetur; verum cum ille non flecteretur, Comnenum Alexium, quem appellarat seba- 19 stum, contra illum mittit, qui Thessalonicam profectus, Basilacii

ετροπώσατο κἀκεῖνον εἰς τὴν τῆς Θεσσαλονίκης συμφυγόντα ἀκρόπολιν πολιορκίᾳ ἐζώγρησε καὶ τοὺς ὀφθαλμοὺς ἐξέκοψε
20 τοῦ ἀνδρὸς κελεύσει βασιλικῇ. καὶ ἄλλοι δὲ ἀντάραντες ἦσαν
P II 293 A χεῖρας τούτῳ τῷ βασιλεῖ, ἀλλ' ἐκ τῶν περὶ τὸν Βρυέννιον συμβάντων καὶ τῶν περὶ τὸν Βασιλάκιον σωφρονισθέντες τὰ ὅπλα 5 κατέθεντο.

21 Τῶν Τούρκων δὲ τὴν ἑῴαν κατατρεχόντων, στέλλει κατ' αὐτῶν ὁ βασιλεὺς σὺν ἀξιομάχῳ στρατεύματι Κωνσταντῖνον τὸν υἱὸν τοῦ προβεβασιλευκότος Κωνσταντίνου τοῦ Δούκα, ἐκεῖνον στρατάρχην τῆς κατὰ τῶν Τούρκων στρατιᾶς προστησάμενος. 10
22 ὁ δὲ πρὸς τὴν καλουμένην Χρυσόπολιν διαπεραιωθεὶς νεωτερίζει εὐθὺς καὶ παρὰ τῆς ἐκεῖσε οὔσης στρατιωτικῆς πληθύος
23 ἀναγορεύεται βασιλεύς. ἀλλὰ τοὺς μὲν τῶν στρατιωτῶν δώροις ὁ βασιλεὺς ὑπηγάγετο, τοὺς δ' ἀξιωμάτων τιμαῖς ᾠκειώσατο, ἄλλους δ' ἄλλως μετεχειρίσατο· καὶ παρ' αὐτῶν συσχεθεὶς 15
B 24 ὁ Κωνσταντῖνος παρεδόθη τῷ βασιλεῖ. κείρεται τοίνυν ὁ νεανίας D I καὶ εἰς νῆσον περιορίζεται· λόγος δ' ἔχει καὶ ἱερέα χρισθῆναι
25 τὸν ἄνθρωπον. τοῦ πατριάρχου δὲ Ἀντιοχείας τοῦ Αἰμιλιανοῦ τὸν βίον μετηλλαχότος προκεχείριστο ἕτερος Νικηφόρος ὁ Μαῦρος λεγόμενος. 20

7 ἀποστασία Κωνσταντίνου τοῦ υἱοῦ τοῦ Δούκα C

4 χεῖραν D, χείρας w*p βρυέννιον RwpDi, βρυένιον AC 5 τῶν om. Rwp 8 ἀξιομάχοις στρατεύμασι B κωνσταντῖνον BwpDi, κωνστάντιον AR, v. ad vs. 16, XVIII 17, 7, Scylitz. p. 742, 5 13 τοὺς] τοῦ w*p 14 ἀξιομάτων w*p 16 κωνσταντῖνος BwpDi, κωνστάντιος AR, v. ad vs. 8 17 χρισθῆναι RwpDi, χριστῆναι D, χρησθῆναι A 18 τοῦ alterum om. D αἰμιλιανοῦ BswpDi, αἱμιλιανοῦ AR, v. ad XVIII 18, 10 19 μῶρος E

copiis profligatis ipsum in arce urbis expugnata captum iussu
20 regio oculis privavit. Qua Bryennii et Basilacii clade alii quoque, qui seditionem contra regem moverant, modestiores facti arma posuerunt.
21 Contra Turcos autem Orientem incursantes iusto exercitu attributo rex Constantinum, Constantini Ducae pridem regis filium,
22 cum imperio misit. Qui cum Chrysopolim traiecisset, statim novis rebus studet et a militari turba, quae illic erat, salutatur rex.
23 Verum rex aliis militibus adductis muneribus, aliis conciliatis dignitatum honoribus, aliis aliter illectis effecit, ut Constantinus
24 sibi ab iis traderetur. Adulescens igitur raditur (quidam etiam eum ferunt unctum esse sacerdotem) et in insulam relegatur.
25 Aemiliano Antiocheno patriarchae mortuo successit Nicephorus, qui dicebatur Maurus.

Οὗτος τοίνυν ὁ βασιλεὺς τὸ μέν τι καὶ διὰ γῆρας βαθύ, 26
τὸ δέ τι καὶ διὰ φυσικὴν χαύνωσιν οὐ πάνυ τι τῆς τῶν πρα-
γμάτων ἥπτετο διοικήσεως, ἀλλὰ τὸν Σίδης μητροπολίτην καὶ
οὗτος προσλαβόμενος ἐκείνῳ τὴν τῶν κοινῶν ἀνέθετο πρόνοιαν.
5 *ἦσαν δὲ τῷ βασιλεῖ τούτῳ καὶ δύο δοῦλοι, ὧν ὁ μὲν Βορίλος,* 27
ἅτερος δὲ Γερμανὸς ὠνομάζοντο· οὗτοι τοίνυν ἦγον τὰ πάντα
καὶ ἔφερον ὡς ἐβούλοντο καὶ αὐτὸν τὸν κρατοῦντα καὶ κύριον
ἑαυτῶν, δι' οὓς καὶ μισεῖσθαι τοῦτον παρὰ τῶν ἐν τέλει συν-
έβαινε, προσφερομένων τῶν δούλων ἐκείνοις ἀλαζονικώτερον
10 *καὶ θρασύτερον.*

Ὡς ἤδη δὲ εἴρηται, ὁ λογοθέτης Νικηφόρος προσχωρήσας 28 C
τῷ Ῥουσελίῳ ὑπὸ δεσμοῖς παρ' ἐκείνου τετήρηται. ἀλλ' αἰφνί- 29
διον θανὼν ὁ Ῥουσέλιος ὑποψίαν παρέσχεν ὡς παρὰ τοῦ λογο-
θέτου φαρμάκῳ ἀνήρηται. διὸ καὶ παρὰ τῶν τῷ Ῥουσελίῳ 30
15 *προσηκόντων τῷ Βοτανειάτῃ παραδοθεὶς εἰς μίαν τῶν πρὸ τῆς*
βασιλίδος τῶν πόλεων κειμένων νήσων περιορίζεται. οἱ δέ γε 31
περὶ τὸν βασιλέα δεδοικότες ὡς, εἰ εἰς ὄψιν ἐλεύσεται τῷ βα- W III 233
σιλεῖ, προσληφθήσεται καὶ πάντας παραγκωνίσεται, ὑποτιθέασι

1 *ὅτι τὸν Σίδης εἰς διοίκησιν τῶν κοινῶν ὁ βασιλεὺς προεστήσατο καὶ περὶ τοῦ Γερμανοῦ καὶ Βορίλου* C 11 *περὶ τοῦ λογοθέτου* (om. E) *Νικηφόρου* CE *καὶ ὅπως ἀνηρέθη* C

1 *μέντοι* AR, *μέν τι* ex *μέντοι* corr. Bwp*Di*, v. ad XVII 7, 30 2 *χαύνωσιν φυσικὴν* C *τι* alterum om. C 3 ante *καὶ* add. *περὶ οὗ προιστόρηται* C 5 *καὶ* om. D *δοῦλοι δύο* BD *βορίλιος* E 8 *ἑαυτῶν*] *ἑαυτὸν* | D post *τέλει* add. *καὶ τῶν τῆς γερουσίας* C, cf. Scylitz. p. 743, 15 9 *ἐκείνοις*] *ἅπασιν* C 11 *εἴρηται*] XVIII 18, 15 *προσχωρεῖ* D 12 *τετήρητο* Rwp*Di* 14 *ἀνήρητο* R(wp) 16 *βασιλίδος* ex *βασιλείας* corr. A 17 *εἰ* om. p*

Hic rex partim ob provectam aetatem partim ob insitam 26
mollitiem rebus administrandis parum intentus erat, sed Sidensi
metropolitano et ipse curam rerum mandabat. Praeterea servos 27
habuit duos, quorum alteri Borilus, alteri Germanus nomen fuit;
hi pro sua libidine sursum deorsum miscebant omnia atque ipsi
etiam imperatori et domino imperabant; ob quorum arrogantiam
et audaciam ipse quoque viris dignitate praeditis invisus fuit.

Nicephorus vero logotheta, cum, ut dictum est, ad Ruselium 28
se contulisset, ab eo in vinculis est servatus et Ruselio subito 29
exstincto in suspicionem venit dati illi veneni. Unde ab Ruselii 30
cognatis Botaniatae traditus in quandam insulam ante urbem
regiam sitam relegatur. Aulici vero veriti ne, si in regis con- 31
spectum veniret, assumeretur omnesque loco moveret, Botaniatae

τῷ Βοτανειάτῃ ἀμυθήτων εὐπορεῖν χρημάτων τὸν λογοθέτην,
32 *καὶ ταῦτα τῷ βασιλικῷ χρῆναι προσενεχθῆναι ταμείῳ. στέλ-*
D *λεται τοίνυν ὁ Στραβορωμανός, μέγας ἑταιρειάρχης τότε γενό-*
μενος, ἐρωτήσων τὸν ἄνθρωπον ὅπῃ αὐτῷ τὰ χρήματα κέ-
33 *κρυπται. οἱ δὲ περὶ τὸν βασιλέα, οὓς καὶ δεδοικέναι τὴν τοῦ* D Γ
λογοθέτου παρουσίαν ὁ λόγος προδιηγήσατο, πείθουσι τὸν Στρα-
34 *βορωμανὸν ἀνελεῖν τὸν ἄνθρωπον ἐκ τρόπου παντός. ὃς καὶ*
γενόμενος κατὰ τὴν νῆσον, ἐν ᾗ περιώριστο, ἐτάζει τὸν ἄν-
θρωπον οὕτω σφοδρῶς ὡς ἐν αὐταῖς ταῖς βασάνοις ἐναπο-
ψύξαι, καὶ ταῦτα ὑπισχνούμενον ὡς πάντα δοίη ἐνυπογράφως 10
εἰ τὸν ἐτασμὸν διαφεύξοιτο.

20 *Ὁ μὲν οὖν οὕτως ἀπόλωλεν· οἱ δὲ Κομνηνοὶ ὁ Ἰσαάκιος*
καὶ ὁ Ἀλέξιος ὑπερβαλλόντως πρὸς τοῦ βασιλέως καὶ τετίμηντο
P II 294 A *καὶ ἐστέργοντο, καὶ διαδόχους αὐτοὺς τῆς βασιλείας ὠνόμαζε.*
2 *διὸ καὶ παρὰ τῶν περὶ τὸν Βοτανειάτην σφοδρῶς ἐβασκαίνοντο* 15
καὶ μᾶλλον παρὰ τῶν εἰρημένων δύο δούλων αὐτοῦ, οἳ καὶ
πρὸς ἐκεῖνον τοὺς ἄνδρας διέβαλλον ὡς τυραννίδα μελετῶντας
καὶ τὴν εἰς αὐτοὺς τοῦ βασιλέως διάθεσιν ὑπώρυττόν τε καὶ

12 *περὶ τῶν Κομνηνῶν* CE *καὶ πῶς εἰς ἀποστασίαν ὥρμησαν, ὅπως τῆς πόλεως ἐκράτησαν καὶ τῆς βασιλείας ἐπέτυχον* C

1 *χρημάτων εὐπορεῖν* C 2 *χρῆναι τῶ βασιλικῶ* C *προςνεχθῆναι* p* 8 *περιώριστο ἐτάζει* RwpDi, *περιώρι | ἐτάζει* A *ἄνδρα* RwpDi 9 *ἐν* om. C 10 *ὑπεσχνούμενον* w*p, *ἐπαγγελλόμενον* C *ἐν ἀπογράφοις* BwpDi, *ἐναπογράφως* CD, *ἀπογράφως* E, *ἐν ὑπογράφως* A, *ἐνυπογράφως* B-W coll. Theoph. I p. 390, 12. 479, 22 12 *δὲ* post *κομνηνοὶ* C 13 *ὁ* om. C 13. 14 *καὶ ἐστέργοντο καὶ τετίμηντο* C 15 *περὶ* om. w*p 16 *αὐτοῦ* om. C

dicunt hominem immensam habere pecuniam, eamque in fiscum
32 esse referendam. Itaque Straboromanus, tum magnus hetaeri-
archa, mittitur, qui hominem rogaret, ubi pecunia occultaretur.
33 Cui iidem aulici, quos supra exposuimus logothetam timere prae-
34 sentem, persuadent, ut hominem omnibus modis tollat. Straboromanus igitur in insulam, ubi ille erat in exilio, pervectus hominem ita torsit, ut in quaestionibus ipsis exspiraret, quamvis promitteret se omnia daturum subscriptione nominis addita, si quaestionibus liberaretur.

20. Atque ille quidem ita periit; Comneni vero Isaacius et
Alexius a rege supra modum honorabantur et diligebantur
2 et regni successores nominabantur. Qua de causa aulicorum
et imprimis duorum servorum, quos diximus, obtrectationibus
erant obnoxii, qui apud illum eos criminabantur, quasi regnum

παρεσάλευον. ὃ γνόντες οὗτοι καὶ μή τι πάθωσι πτοηθέντες, 3
ὡς δὲ λόγος, καὶ πάλαι παρ' ἑαυτοῖς τὸν τῆς βασιλείας τρέ-
φοντες ἔρωτα, καὶ ἄλλοις οἷς ἐθάρρουν τὸ βούλευμα κοινω-
σάμενοι, ἐξῆλθον τῆς πόλεως καὶ τὴν πόλιν Ἀδριανοῦ κατειλη-
5 φότες εἰς ἑαυτοὺς τὸ στρατιωτικὸν ξύμπαν σχεδὸν ἐπεσπάσαντο.
καὶ ἀναγορεύεται βασιλεὺς ὁ Ἀλέξιος, τοῦ μείζονος προτιμηθεὶς 4
ἀδελφοῦ, ὅτι τε προσέκειντο τούτῳ οἱ στρατιῶται μᾶλλον ὡς B
στρατηγικωτέρῳ καὶ ὅτι σπουδῇ τε καὶ ὑποσχέσεσι παρὰ τῶν
περὶ αὐτὸν μεθειλκύσθησαν. οὕτως οὖν ἀναρρηθεὶς ὁ Ἀλέξιος 5
10 καὶ τοῦ Ἰσαακίου μὴ πάνυ τι πρὸς τὴν ἀνάρρησιν δυσχερά-
ναντος, τὴν βασιλίδα καταλαμβάνει καὶ πρὸς πολιορκίαν ἡτοί-
μαστο· ὁ δὲ Βοτανειάτης τοῖς τείχεσιν ἐπέστησε φύλακας. ἦσαν 6
δὲ περί τινα πύργον πρὸς τῇ πύλῃ τῆς πόλεως, ἣ Χαρσίου
233 καλεῖται, φυλάσσοντες Νέμιτζοι (ἔθνος δ' οἱ Νέμιτζοι Κελτικόν)·
15 οὗτοι λάθρᾳ τοῖς περὶ τοὺς Κομνηνοὺς ἐκοινολογήσαντο περὶ
προδοσίας τῆς πόλεως. ἕωθεν οὖν κατὰ τὴν μεγάλην πέμπτην 7 C
τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους τοῦ σωτῆρος ἡμῶν οἱ
μὲν περὶ τοὺς Κομνηνοὺς τῷ κατ' ἀντικρὺ τοῦ παρὰ τῶν Νε-

6 ἀναγόρευσις τοῦ βασιλέως κυροῦ (v. argum. ad p. 712, 4) Ἀλεξίου A

1 ἃ *Di* invitis ARwp πάθοσι Ewp 5 σύμπαν B, v. ad XIII 5, 1 ἐπεσπάντο E 7 μᾶλλον post τούτῳ Owp 7. 8 οἱ στρατιῶται post στρατηγικωτέρῳ Owp 7 ὡς om. E 8 καὶ prius Rwp*Di*, om. A 9 αὐτῶν D 10 πάνυ om. C 11 post καταλαμβάνει add. τῶν πόλεων C 13 παρά Bwp πῦργον (sic) A, v. ad XIII 3, 15 14 νέμετζοι (bis) AEwp, νέμιτζοι O*Di*, 18 νεμίτζων ARp*Di*, νεμίζων Ew, p. 728, 3 νεμίτζων ARwp*Di*, v. Ann. Comn. I p. 120, 10. 121, 3 δ' οἱ] δὴ C 15 τοῖς π. Rwp*Di*, τοὺς π. A κοινολογησάμενοι D 18 κατ' ἀντικρὺ AE*Di*, κατ-αντικρὺ O, κατ' ἄντικρυ w*p

cogitarent, et regis erga illos animum clam vellicabant et exulcerabant. Quo illi cognito veriti, ne quid gravius in se 3 consuleretur, et regni cupiditate, ut fama est, iam olim aestuantes, communicato cum iis quibus fidebant consilio, urbe excedunt et Hadrianopoli occupata omnes paene legiones ad se attrahunt. Alexius autem salutatur rex, fratri natu maiori prae- 4 latus, tum quod ob rei militaris peritiam exercitibus erat carior, tum quod familiarium studiis et pollicitationibus iis erat commendatus. Alexius igitur sic declaratus, Isaacio prorsus non 5 aegre ferente, urbem regiam ad obsidionem paratus invadit; Botaniates vero custodes in moenibus collocat. Erant autem ad 6 turrim quandam sitam ad urbis portam Charsiam custodes Nemitzi, gens Gallica, qui clam cum Comnenis de urbis proditione egerunt. Mane igitur magna feria quinta septimanae salutaris 7

μίτζων κατεχομένου πύργου ἐξωτέρῳ τείχει προσέβαλον κατὰ
8 σύνθημα, οἱ δ' ἐφεστῶτες αὐτῷ τοὺς προσβάλλοντας ἔβαλλον
9 καὶ ἀπεῖργον τοῦ προσιέναι ἀγχοῦ. ὡς δ' ὑπὸ τῶν Νεμίτζων
ἐκ τοῦ πύργου οἱ ἐν τῷ τείχει ἐβάλλοντο, μὴ οἷοί τε ὄντες
καὶ πρὸς τοὺς ἐκτὸς ἀνθίστασθαι καὶ πρὸς τοὺς ἐντὸς ἀπο- 5
μάχεσθαι, ἐξ ὑπερδεξίων εἰς αὐτοὺς ἀκοντίζοντας, ἐνέδωκαν
10 τῆς ὁρμῆς. οἱ δὲ τειχομαχοῦντες κλίμαξιν αὐτίκα πρὸς τὸ
D τεῖχος ἀνῄεσαν καὶ τὰ κλεῖθρα τῶν πυλῶν διατεμόντες πελέ-
11 κεσιν ἄνετον τοῖς συνωμόταις παρέσχον τὴν εἴσοδον. ὅπερ
ἰδόντες οἱ τὸν ἐντὸς τηροῦντες περίβολον, σύγκλυδες ἄνθρωποι 10
καὶ πολέμων οἱ πλείονες ἀδαεῖς ἢ μᾶλλον ἐξ ἀγοραίων ἀθροι-
σθέντες καὶ πληθύος δημότιδος, οἱ μὲν κατιόντες ᾤχοντο, οἱ
12 δὲ καὶ ἑαυτοὺς ἐπισφαλῶς κατακρημνίζοντες ἔφευγον. ὅθεν
κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν καὶ τὸν ἐντὸς περίβολον
οἱ περὶ τοὺς Κομνηνοὺς παρειλήφασι καὶ τὰς τούτου πύλας 15
ὁμοίως ἀναπετάσαντες βατὴν τὴν πόλιν παντί που παρέσχοντο·
13 καὶ αὐτίκα πρὸς διαρπαγὴν χρημάτων οἱ εἰσελθόντες ὡρμή-

13 ὅσα καὶ οἷα γεγόνασι παρὰ τοῦ ⟨πλήθους⟩ εἰσελθόντος εἰς τὴν ⟨μεγάλην⟩ πόλιν C (quae nunc evanida sunt in codice, supplevit *B-W*), ἅλωσις τῆς πόλεως E

1 προςέβαλλον C*Di*, sed v. Hultschium *Die erzähl. Zeitf. b. Polybios* XXI 15 2 σύνθημα—ἔβαλλον om. E δὲ Cwp*Di* τοὺς προςβάλλοντας AR, πρὸς τοὺς βάλλοντας D, τοὺς πρὸς βάλλοντας w*p 4 post τῷ add. ἔξω C 6 πρὸς C 9 συνωμόταις O (sed ex συνωμότες corr. B) *Di*, συνω|μότες A, συνομόταις Ewp 10 ἰδόντες] ὡς εἶδον C τὸν] τῶν C, τὸν ex τῶν corr. A τηροῦντες .... περίβολον C 12 πλήθους C, πληθεί[ως] D 13 ἀσφαλῶς E 17 ὡρμήκασι Rwp*Di*, ὡρμήκασιν A, v. ad XIII 1, 5

passionis servatoris nostri Comneni in murum exteriorem e regione illius, quam Nemitzi tenebant, ex composito fecerunt im-
8. 9 petum, quos subeuntes telis arcebant defensores. Quod autem a Nemitzis ii, qui in muris erant, ex turri petebantur nec simul externis et internis hostibus e superiore loco iaculantibus resi-
10 stere poterant, impetum remiserunt. Qui vero moenia oppugnabant, scalis statim muro conscenso portarumque claustris bipen-
11 nibus perfractis, liberum coniuratis ingressum patefecerunt. Quod conspicati qui interiora moenia tuebantur, convenae et belli plerique rudes ac potius ex circumforaneis collecti plebeiaque multitudine, alii descendere, alii se cum periculis praecipitare ac
12 fugam capessere. Itaque Comneni etiam interiora moenia defensoribus plane vacua occupant eorumque portis itidem pate-
13 factis cuivis in urbem aditum aperiunt, statim ad direptiones se convertentes, quippe turba permixta ex Thracibus, Macedonibus,

κασι, σύμμικτον πλῆθος ἐκ Θρᾳκῶν τε καὶ Μακεδόνων καὶ
Ῥωμαίων ἄλλων καὶ βαρβάρων συνεστηκός, οὐδὲν ἄμεινον πο- W III 234
λεμίων πρὸς τοὺς ὁμοφύλους διατιθέμενοι. καὶ μέχρι γὰρ 14 P II 295 A
ἐκχύσεως αἱμάτων προὐχώρησε τὸ κακόν, καὶ παρθένοι δὲ τῷ
234 θεῷ καθιερωμέναι ἀσεβῶς ἐμιάνθησαν, καὶ γυναῖκες ἀνδράσι
συνεζευγμέναι πρὸς βίαν ὑβρίσθησαν, καὶ θεῖοι ναοὶ τὸν κόσμον
αὐτῶν ἐσυλήθησαν, καὶ οὐδὲ τῶν ἁγίων κρατήρων ἀπέσχοντο,
ἀλλὰ καὶ τούτους οἱ πάντολμοι καὶ τὰς ἱερὰς φιάλας τῆς ἀναι-
μάκτου καὶ φρικώδους θυσίας πλήρεις διήρπαζον, ἐκχέοντες
10 τὰ ἅγια κατὰ γῆς. καὶ ὅσοις δὲ τῆς γερουσίας συνήντων, κατα- 15
σπῶντες τῶν ἡμιόνων αὐτούς, ἐνίους δέ γε καὶ ἀποδύοντες,
ἐν μέσαις ταῖς ἀγυιαῖς εἴων ἡμιγύμνους τε καὶ πεζούς. καὶ 16
ταῦτα καθ' ὅλην τὴν ἡμέραν ἐπράττετο, καὶ τὸ δεινὸν ἄχρι
τοῦ Βοὸς ἐπεφθάκει γενόμενον κοινόν τε καὶ πάνδημον, ἤδη
15 δέ τινες καὶ μέχρι τοῦ Φιλαδελφίου ἢ καὶ προσωτέρω ἐπ-
έδραμον. οἱ δὲ Κομνηνοὶ εἰς τὴν προνομὴν σκεδασθέντων πάν- 17 B
των μόνοι σὺν εὐαριθμήτοις σφόδρα τοῖς περὶ αὐτοὺς κατ-
ελείφθησαν καὶ ἕως τοῦ Ταύρου γενόμενοι προσωτέρω ἀπιέναι
οὐκ ἐπεθάρρουν. τοσοῦτον γὰρ ἐψίλωντο ἀξιομάχου δυνάμεως 18

3 φεῦ B

1 σύμμικτοι E 3 διατεθειμένοι E, διατηθεμένοι w*p 4 ἐκ χύσεως (sic) AE 6 συζευγνύμεναι E 7 παναγίων B, παναγῶν CD 8 φυάλας Ewp 9 ἐκχέαντες Bwp 10 ἀπήντων B, συνόντων C 11 γε om. Ewp 12 ἁγίαις (υι) E, ἁγιαῖς w*, ἀγυιαῖς p* εἴων post μέσαις C τε om. D 12. 13 καὶ ταῦτα] ἐνταῦθα D 13 ἐπράττοντο Ewp 14 γινόμενον B^s D^s Ewp *Di* κοινόν—πάνδημον om. E 17 μόνοι Rwp*Di*, μόνοις A σφόδρα] πάνυ C κατελείφθησαν AR, καταλείφθησαν w*p, περιελείφθησαν C 19 ἀπεθάρρουν Owp τοσοῦτον] οὕτω C*Wo* lat.

Romanis, barbaris, nihilo melius hostibus affecti in populares. Nam ad caedes malum processit, et virgines deo consecratae 14 impie pollutae sunt et matronae violatae et templa ornatu spoliata, neque a crateribus temperatum, sed homines audacissimi hos etiam et phialas incruenti et terribilis sacrificii plenas diripiebant sancta humum effundentes. Senatores quoque obvios 15 mulis detrahebant, nonnullos vestibus exutis seminudos et pedites mediis in vicis relinquebant. Haec per totum diem agebantur, 16 ac malum usque ad Bovem publice ac sine discrimine vagatum est; iamque nonnulli ad Philadelphium et ultra procurrerant. Comneni vero, omnibus ad manubias discurrentibus, soli cum 17 perexiguo numero relicti cum ad Taurum pervenissent, non sunt

ὡς εἰ τότε τούτοις ἐπῆλθόν τινες, ῥᾷον ἂν εἷλον αὐτοὺς καὶ δεσμίους τῷ Βοτανειάτῃ προσήγαγον· ἀλλὰ τὸ δόξαν ἤδη θεῷ
19 μετατραπῆναι οὐκ ἦν. ἔνθεν τοι ὁ μὲν Βοτανειάτης μαθὼν τῶν Κομνηνῶν τὴν εἰσέλευσιν, ἄπεισιν αὐτίκα τῶν βασιλείων, αὐτοῦ που ῥίψας ἃ ὑπεδεῖτο φοινικόχροα πέδιλα, καὶ εἰς τὴν 5 τῆς Περιβλέπτου μονὴν ἀπελθών, ἧς ἐκεῖνος μετὰ τὸν κατὰ τοὺς Ἀργυροὺς Ῥωμανὸν ἐκεῖνον τὸν αὐτοκράτορα κτήτωρ δεύ-
C τερος ἐχρημάτισε, κείρεταί τε τὴν τρίχα καὶ μεταμφιέννυται
20 τὴν στολήν, τριβώνιον κατὰ μονάζοντας ἐνδυσάμενος. ἔνθα καὶ χρόνον ἐπιβιούς τινα τὸν χοῦν ἀπέθετο τῷ χοΐ, ταφεὶς παρ' 10 αὐτῇ.

21 Οἱ δὲ Κομνηνοὶ μηδενὸς αὐτοῖς ἀντιβαίνοντος τοῖς ἀνακτόροις προσπεφοιτήκασιν, ἀταλαιπώρως τούτοις ἐπιβάντες καὶ D IV
22 ὁμαλῶς μετὰ πολλῆς τῆς λειότητος. τοιαῦτα σφίσι τὰ προσόδια γέγονε, τοιαῦτα τὰ εἰς τὴν βασιλίδα τῶν πόλεων εἰσιτήρια, τοι- 15 αῦτα τὰ τῆς βασιλείας ἐπιβατήρια.

21 Ἤδη δ' ἐν ἀσφαλεῖ γεγονότες οἱ Κομνηνοὶ καὶ τὴν μητέρα σφῶν καὶ τὰς ὁμευνέτιδας ἐκ τῆς μονῆς τοῦ Κανικλείου πρὸς

3 ὅτι ὁ Βοτανειάτης ἀπεκάρη καὶ εἰς τὴν Περίβλεπτον ἀπελθὼν ἐκεῖ ἐτελεύτησεν C 12 βασιλεία τοῦ Κομνηνοῦ κυροῦ (v. argum. ad p. 712, 4) Ἀλεξίου A 17 βασιλεία Ἀλεξίου τοῦ Κομνηνοῦ R, περὶ τῶν ἀδελφῶν τοῦ βασιλέως καὶ τῆς μητρὸς καὶ τῶν γαμβρῶν C

1 εἰ] οἱ C τινες] αὐτοῖς D 3 τοι] το D 4 ἄπεισιν—βασιλείων om. D 5 φοινικόχροια B 6 τῆς] δὲ p* ἀπιὼν BD 8 τε om. Ewp 10 καὶ om. D 10. 11 ταφεὶς—αὐτῇ om. C 11 αὐτοῦ D 13 τούτων C 14 post ὁμαλῶς add. καὶ Rwp προεισόδια BDEwp 15 post πόλεων add. τὰ D 15. 16 τοιαῦτα τὰ (μετὰ D) τῆς βασιλείας ἐπιβατήρια RwpDi, om. A 18 Κανικλείου] Νικολάου coni. *Duc* (not. in Ann. Comn. Alex. p. 449 Bonn.) coll. Ann. Comn. I p. 100, 14

18 ausi ulterius progredi, iustis copiis tantopere nudati, ut, si qui eos tum aggressi essent, facile eos capturi ac vinctos Botaniatae traditurí fuerint; neque vero divinum decretum iam poterat
19 everti. Quamobrem Botaniates, Comnenorum ingressu cognito, palatio statim relicto temereque abiectis purpureis calceis, Peribleptae monasterium ingressus, cuius post Romanum Argyrum imperatorem secundus conditor est vocatus, coma rasa mutata-
20 que veste lacernam monasticam induit. Ubi cum aliquamdiu vixisset, pulvere pulveri restituto sepelitur.
21 Comneni autem nullo obsistente regiam nullo labore ingressi
22 sunt, plana et expedita via. Tale fuit eorum initium, talis in urbem regiam ingressus, talia imperii auspicia.

21. COMNENI, rebus suis iam in tuto collocatis, et matrem

τὰ βασίλεια μετεστείλαντο. ἐκείνων γὰρ ἐπικεχειρηκότων ἀπο- 2
στασίᾳ, εὐθὺς αἱ γυναῖκες εἰς τὸ μέγα τέμενος τῆς τοῦ θεοῦ D
λόγου Σοφίας προσπεφοιτήκασιν. ὅθεν παρὰ τοῦ Βοτανειάτου 3
εἰς τὴν ῥηθεῖσαν μονὴν μετηνέχθησαν, ἵνα μὴ ἔχοιεν πρὸς τοὺς
5 ἀποστατήσαντας διαπέμπεσθαι, οὐδὲν δ' ἕτερον ἀνιαρὸν ἐκείναις
ἐπήνεγκε. μήπω δὲ σχεδὸν τοὺς πόδας τῇ βασιλείᾳ ἐρείσαντες 4
αὐτίκα πολλῶν τοῦ Βοτανειάτου πράξεων σχολὴν κατεψηφίσαντο,
καὶ οὐδ' ἐξότου ἦσαν ἐπικεχειρηκότες τῇ τυραννίδι τὴν ἀθέτησιν
τοῖς παρ' ἐκείνου πραχθεῖσιν ἐπήνεγκαν, ἀλλὰ καὶ τοῦτον ὑπερ-
10 ήλαντο τὸν καιρόν, καὶ πολλὰ τῶν ἐκείνῳ πεπραγμένων βασι-
λικῶς ἀνῃρήκασιν οὗτοι ῥήματι βραχυσυλλάβῳ τυραννικῶς.
εἶτα ὁ μὲν Ἀλέξιος βασιλικὸν ἀναδεῖται διάδημα, τῷ δ' Ἰσαακίῳ 5
τὰ δευτερεῖα νενέμηνται τῆς τιμῆς, καινοῦ αὐτῷ ἐπιφημισθέντος P II 296 A
ὀνόματος· σεβαστοκράτωρ γὰρ ἐπεκλήθη καὶ ὑπερεῖχε τοῦ Καί-
15 σαρος. ἡ δὲ μήτηρ τούτων, παρασήμων μὴ μετασχοῦσα βα- 6
σιλικῶν διὰ τὸ ἔνδυμα τὸ μοναχικὸν μήτε μὴν εὐφημίας καὶ
ἀναρρήσεως, μόνου μετεῖχε τοῦ τῆς βασιλείας ὀνόματος, αὐτὴ
δὲ τὴν τῶν πραγμάτων πᾶσαν διοίκησιν ἀνεζώσατο. οὕτω μὲν 7 W III 235
οὖν τὰ τῆς βασιλείας παρὰ τῇ μητρὶ νενέμηντο καὶ ἀμφοῖν

2 πρὸς BD θέμενος p* 5 δὲ C 6 τῆς βασιλείας B 7 σχολὴν πράξεων πολλῶν τοῦ βοτανειάτου κατεψ. O 8 ἐπικεχωρηκότες B ἄθεσιν E 9 ὑπερήλλαντο ARwp, corr. *Di* 10 τοῦ καιροῦ Ewp ὑπ' ἐκείνου Ewp βασιλικῶς om. O *Wo* lat. 11 ἀνῃρήκασιν οὗτοι ῥήματι (γράμματι w*p) βραχυσυλλάβω τυραννικῶς AE(wp), βραχυσυλλάβω γράμματι ἀνῃρήκασιν omisso τυραννικῶς O 12 ἀναδεῖται βασιλικῷ διαδήματι BD 13 νενέμηντο BD, νενέμητο C αὐτοῦ Ewp 17 αὐτῇ B[s]wp 18 οὕτω | ἐν C

et coniuges ex Caniclei monasterio in regiam arcessiverunt. Nam 2
cum ipsi defecissent, mulieres statim in magnum divini verbi
Sapientiae templum confugerunt. Unde a Botaniata in illud 3
monasterium sunt translatae, ne ad seditiosos nuntios missi-
tare possent, nulla alia ab eo molestia affectae. Enimvero fere 4
priusquam pedem in regno firmarent, statim multa Botaniatae
acta abrogarunt non ab iis auspicati temporibus, quibus tyran-
nidem invaserant, sed illa supergressi brevi scripto complura,
quae ab illo regie decreta erant, ii tyrannice aboleverunt. De- 5
inde Alexio regia corona ornato, secundae dignitatis partes
Isaacio sunt tributae, novo indito sebastocratoris nomine, quod
Caesariano esset excellentius. Eorum vero mater ob monasticum 6
habitum et imperii insignium et celebrationis ac proclamationis
expers solius nominis regii fuit particeps, nihilo tamen secius
omnium rerum administrationem suscepit. Ita regno inter utrum- 7

8 τοῖς ὁμαίμοσιν. ἥστην δὲ τῷ βασιλεῖ καὶ ἑτέρω διττὼ ἀδελφὼ νεωτέρω τὴν ἡλικίαν, ὧν τὸν μὲν πρωτοσεβαστὸν ἐτίμησε καὶ D IV μέγαν δομέστικον, τὸν Ἀδριανόν, τὸν Νικηφόρον δὲ σεβαστὸν
9 καὶ τοῦ στόλου δρουγγάριον. εἶχε δὲ καὶ ἐπ' ἀδελφαῖς κηδε-
B στὰς τὸν Μελισσηνὸν Νικηφόρον καὶ Μιχαὴλ τὸν Ταρωνίτην. 5
10 τὸν μὲν οὖν Ταρωνίτην τῇ πρώτῃ συνεζευγμένον τῶν ἀδελφῶν, πάνυ στεργομένῃ πρὸς τῆς μητρὸς καὶ πρὸς αὐτῶν τιμωμένῃ, πανυπερσέβαστον ὠνόμασαν, καὶ τοῦτο καινίσαντες
11 τὸ ἀξίωμα. τὸν δέ γε Μελισσηνόν, ἀποστασίαν κἀκεῖνον κατὰ τοῦ Βοτανειάτου ἐν τῇ ἑῴᾳ φρονήσαντα καὶ ἔτι ταύτης ἐχό- 10 μενον, ἐπὶ συμβάσει τετιμήκασι Καίσαρα καὶ τὴν πόλιν αὐτῷ
12 Θεσσαλονίκης εἰς κατοικίαν ἀπένειμαν, καὶ χορηγίαν χρημάτων καὶ τούτῳ καὶ πᾶσι τοῖς αὐτοῖς κατὰ γένος προσήκουσι τύχῃ τοιᾷδε καὶ ἀξιωμάτων ὄγκῳ τηλικῷδε ἀνάλογον προσαφώρισαν.
13 ἐντεῦθεν τῶν βασιλείων προσόδων, μᾶλλον δ' εἰπεῖν τῶν κοι- 15
C νῶν καὶ δημοσίων, οὕτω διανεμηθεισῶν τὸ βασιλικὸν ταμεῖον

14 Apparent in marg. cod. C tantum particulae vocabulorum ι ἐσχόλα ... τῶν ἀξιωμάτων ῥόγαν ὁ Κομνηνός· ἔστεψε τὴν .. σύζυγον .. βασιλίσ . . . . .

1 δὲ τῶ βασιλεῖ AR, δ' αὐτοῖς BDwp 2 πρωτοσεβαστὸν ARwp (v. Steph. thes. t. VI p. 2154 A, Ann. Comn. I p. 148, 8. 286, 11), πρωτοσέβαστον Bs(?)*Di* ἐτίμησαν Owp 3 ἀνδριανὸν D 4 εἶχον Owp ἀδελφὰς DE 5 μελικηνὸν (σσ superscr.) (sic) E 6 τὸν μὲν οὖν Ταρωνίτην om. E τρίτῃ E 7 στεργομένην AR, στεργομένῃ ex στεργομένην rasura corr. Bwp*Di* αὐτῶν Rwp*Di*, αὐτὸν A τιμωμένην E 8 ὠνόμασε E 11 συμβιβάσει Ewp 12 θεσσαλονίκην BCEwp*Di* εἰς κατοικίαν om. C ἀπένειμον Ewp 13 τοῦτο BC αὐτοῖς] αὐτῶ D 14 τοιᾶδε O(*Di*), τοιάδε AEwp τηλικούτω E(wp), τηλικῶδες D προςαφώρεσαν D 16 δημίων B ταμιεῖον wp*Di*, ταμεῖον AR, quod est restituendum apud Ann. Comn. I p. 225, 15. 278, 9 cet. Cf. Zonar. XV 4, 16. XVI 2, 35. 8, 7

8 que matremque distributo, rex alios duos fratres natu minores, Hadrianum protosebastum et magnum domesticum, Nicephorum
9 sebastum et classis drungarium declaravit. Habebat quoque affines sororum maritos Nicephorum Melissenum et Michaëlem Ta-
10 ronitem. Quorum hunc primae sorori iunctum et matri carissimae et ab ipsis honoratae panhypersebastum appellarunt, ea
11 quoque dignitate novata. Melissenum autem, qui et ipse in Oriente a Botaniata defecerat necdum arma posuerat, Caesaris honore tributo et Thessalonica urbe ad habitandum assignata in
12 suas partes attraxerunt et reditus tam huic, quam ceteris omnibus sibi propinquis tali fortunae tantoque dignitatum fastigio
13 pares attribuerunt. Unde regiis vectigalibus ac potius commu-

ἢ τὸ κοινὸν πρυτανεῖον ἐστένωτο. καὶ ὁ κρατῶν σπανίζων 14
χρημάτων τάς τε τοῖς ἀξιώμασιν ἀνηκούσας ἀνέκαθεν ἐτησίας
δόσεις ἐξέκοψε καὶ τὰς τῶν συγκλητικῶν οὐσίας προσαφῃρεῖτο.
ἔστεψε δὲ καὶ τὴν κοινωνὸν αὐτῷ τοῦ βίου Εἰρήνην καὶ Αὐ- 15
5 γούσταν ὠνόμασεν· ἡ δ' ἦν ἐγγόνη τοῦ Καίσαρος Ἰωάννου
τοῦ Δούκα. ἡ δὲ πρῴην βασίλισσα ἡ ἐξ Ἀλανῶν Μαρία σὺν 16
τῷ ἰδίῳ υἱῷ Κωνσταντίνῳ, ὃν τῷ Δούκᾳ Μιχαὴλ ἐν τῇ πορ-
φύρᾳ ἐγείνατο, στεφθέντι παρὰ τοῦ οἰκείου πατρὸς ἔτι βρεφυλ-
λίῳ τυγχάνοντι καὶ πεδίλοις φοινικοῖς ὑποδουμένῳ, τῶν ἀνα-
10 κτόρων μεθίσταται καὶ εἰς τὰ ἐν τῇ μονῇ τῶν Μαγγάνων D
βασίλεια ἄπεισιν. ἤδη γὰρ εἰλήφει ταῦτα καὶ τὴν μονήν, ἀλλὰ 17
μέντοι καὶ τὴν τοῦ Ἑβδόμου διὰ χρυσοσημάντου τοῦ Βοτα-
237 νειάτου γραφῆς, ἔνθα διῆγε σὺν τῷ υἱῷ, βασιλικὴν ὑπηρεσίαν
ἑαυτῇ καὶ τῷ υἱῷ ἀποτάξασα. ἔτι γὰρ ὁ παῖς αὐτῇ περιέκειτο τὰ 18
15 τῆς βασιλείας γνωρίσματα καὶ εὐφημεῖτο μετὰ τὸν αὐτοκράτορα
καὶ τὰς χρυσοβούλλους γραφὰς μετ' ἐκεῖνον ὑπεσημαίνετο. μετὰ 19
δέ τινα χρόνον καὶ ἡ μήτηρ αὐτοῦ μετημφιάσθη, μέλαν ἐνδῦσα
χρῶμα κατὰ τοὺς μοναχούς, τὸ μὲν ἑκοῦσα, τὸ δέ τι τυραν-
νουμένη· καὶ ὁ παῖς ἀφῃρέθη τὰ περιπόρφυρα πέδιλα καὶ μόνῳ 20
20 τῷ Κομνηνῷ ἡ τῆς αὐταρχίας κλῆσις καὶ ἡ βασιλεία περι-
ελέλειπτο.

2 ἐτησίους D 7 ante ὃν add. τῷ δούκα E(wp), om. AO*Wo* lat. δούκᾳ om. E 12 ἑβδόμου] βοτανειάτου C 14 αὐτῇ] αὐτῆς BDwp 16 χρυσοβουλλίους B 17 μητὴρ w*p αὐτῷ B 20 ἡ τῆς αὐταρχίας om. D

nibus et publicis ita distributis regis fiscus sive publicum aerarium exhauriebatur. Imperator vero pecunia egens non annua 14 donativa tantum viris dignitate ornatis antiquitus dari solita sustulit, sed et senatoribus opes eripiebat. Uxorem Irenen, 15 Caesaris Ioannis Ducae neptem, corona ornavit Augustamque dixit. Prior vero regina Maria Alana cum filio Constantino, 16 quem Michaëli Ducae in purpura pepererat paterque infantulum tum corona ornarat cuique attribuerat calceos purpureos, regia excedit et in Manganici monasterii palatia se confert. Iam enim 17 utriusque loci et monasterii in Hebdomo possessionem sibi aurea bulla Botaniatae firmatam tenebat; ibi cum filio agebat, regiis ministeriis et illi et sibi constitutis. Nam filius eius insignia re- 18 gni etiam tum gerebat et post imperatorem celebrabatur et aureae bullae diplomatibus post illum subscribebat. Ceterum 19 aliquanto post eius mater mutato vestitu nigrum habitum monasticum partim ultro, partim a tyranno coacta sumpsit. Sed et 20 eius filio purpurei calcei sunt adempti, soli Comneno et nomine imperatoris et potestate regis relicta.

P II 297 A 21 Οὕτω μὲν οὖν ταῦτα· ὁ δὲ τῆς βασιλίδος τῶν πόλεων
ἀρχιερατεύων ἐκεῖνος Κοσμᾶς, τῇ τῶν κοινῶν πραγμάτων μεταχειρίσει ἀπαρεσκόμενος καὶ ἀπεγνωκὼς τὴν διόρθωσιν, τῷ
ὑπηρέτῃ "ἆρον" εἰπών "τὸ ψαλτήριον καὶ συνέπου μοι" τῆς
ἐκκλησίας ὑπανεχώρησε καὶ πολλὰ παρὰ τῶν κρατούντων πα- 5
ρακληθεὶς ὑποστρέψαι οὐχ ὑπενόστησεν, ἔτη πέντε καὶ μῆνας
22 ἐννέα τὸν πιστὸν ποιμάνας λαόν. διὸ καὶ ἄλλον τινὰ ἀρχιερέα
τῇ ἐκκλησίᾳ ἀντικατέστησαν, ἐκτομίαν τινὰ μοναχόν, κεκλημένον
Εὐστράτιον, οὔτε λόγοις ὡμιληκότα οὔτε πραγμάτων ἐγγεγυμνασμένον μεταχειρίσεσιν, ἀφελῆ δὲ ἄνθρωπον καὶ ἡσυχίᾳ ἢ γωνίᾳ 10
B 23 μᾶλλον προσήκοντα. ἤδη δὲ τρεῖς ἐνιαυτοὺς ἐνσεμνυνάμενος
κατηνέχθη τῶν ἱερῶν ἀνακτόρων παρὰ τῶν κρατούντων· ἡ δ'
24 αἰτία οὐκ ἔγνωσται ἀκριβῶς. καὶ λοιπὸν προκεχείριστο πα-
W III 236 τριάρχης ἀνὴρ μοναχός, ὁ γραμματικὸς ὀνομαζόμενος Νικόλαος, ἐν ἀσκήσει τὸν βίον διηνυκὼς καὶ οὐδὲ τῆς ἐν λόγοις 15
παιδείας ἀμέθεκτος ὤν, κἂν μὴ κατακόρως ταύτης μετέσχηκεν.

22 Ἄρτι δὲ τῆς βασιλείας ἐπιβεβηκότι τῷ Κομνηνῷ ἠγγέλη
ὁ Φράγγος Ῥομπέρτος εἰς τὴν Ἐπίδαμνον διαπεραιούμενος, D Γ

1 περὶ πατριαρχῶν CE 17 περὶ τοῦ Ῥομπέρτου CE τοῦ ... καὶ ὅπως πρότερον μὲν ἐτιμήθη ὁ βασιλεὺς προσβαλὼν αὐτῷ εἶτα ἐνίκησε C

2 ante ἐκεῖνος add. ὁ θεσπέσιος OwpDi μεταχειρήσει w*p invitis AR, v. ad vs. 10 5 ἀπανεχώρησε C 7 τινὰ om. O 8 ἀντεκατέστησεν Ewp, v. ad XVIII 5, 9 9 ἐγγεγυμνασμένον RwpDi, ἐγγεγυμνασμένων A 10 μεταχειρήσεσιν DEwp 11 post τρεῖς add. οὗτος O, οὕτως w*pDi post ἐνιαυτοὺς add. τῷ θρόνῳ O(wpDi) 12 κατήχθη D 14 γρατικὸς B ὠνομασμένος O 15 τῆς RwpDi, τοῖς AD 18 ῥομπέρτης D διὰ περαιούμενος (sic) A

21 Atque haec hactenus; at regiae urbis pontifex ille Cosmas, qui communium rerum administrationem improbaret atque emendationem desperaret, ministro suo psalterium auferre seque sequi iusso, ecclesia excessit neque in eam rediit, quamvis imperatoribus magnopere flagitantibus, cum fidelem populum annos quin-
22 que et menses novem pavisset. Quocirca alium pontificem ecclesiae praefecerunt, spadonem quendam monachum, nomine Eustratium, neque eruditum neque in rebus gerendis versatum,
